AKROPOLIS WORLD NEWS

**www.akwn.net**

J. Coderch, M.A., Ph.D.

**First Year**

**(November 2002 - July 2003)**

At the beginning of this experimental attempt, translations were done in a quite careless way. The abbreviation QTTP found in the first texts means "quick translation, trial period", as the very first texts were quickly written, just to check the functioning of the web site, the final result when trasforming the text into a GIF image, the availability of readers to read breathings and accents clearly, etc. So, mistakes are liable to be found at the beginning, in which the main purpose was in fact to check the operational capacity of the web site both for the readers and for me.

For questions relative to the use of modern terminology etc. please refer to the website itself.

**Terrorist attack against USA**
(7-11-02) (QTTP)

[This is not original, it is just a little "experiment" to begin with, using former news, maybe the news most talked about in the last year; an adaptation of what was published in Latin by Nuntii Latini (Helsinki) more than a year ago]

Τρομοκρατικὴ προσβολὴ ἐπὶ τὰς Ἡνωμένας Ἀμερικῆς Πολιτείας

*Τῇ ἑνδεκάτῃ ἡμέρᾳ τοῦ Σεπτεμβρίου μηνὸς δισχιλιοστῷ πρώτῳ ἔτει ὠμοθυμωτάτη τρομοκρατικὴ προσβολὴ ἐπὶ τὰς Ἡνομένας Ἀμερικῆς Πολιτείας (ΗΑΠ) τῆς ἕω συνέβη. Ἔνιοι γὰρ ἰσλαμικοὶ τρομοκράται βίᾳ ἐμπορικὸν ἀεροσκάφος κατεκράτησαν τε καὶ ἐπὶ πύργον ἀκρότατον Νέας Ὑόρκης ἐκυβέρνησαν· σύρρηξις μὴν δεινωτάτη ἐγένετο. Δύο καὶ εἴκοσι λεπτῶν ὕστερον, δευτέρον κατακρατηθὲν ἀεροσκάφος ἐπὶ ἕτερον πύργον ὑπ' ἄλλων τρομοκρατῶν προσεβλήθη. Ἀμφότεροι ἢ δὴ πύργοι, ὀνόματι Κέντρον Παγκοσμίου Ἐμπορίας, σύμβολον ἦσαν τῆς ἐμποριστικῆς δυνάμεως τῶν ΗΑΠ. Ἐπὶ δὲ τῇ συρρήξει οἱ πύργοι ἐπρήσθησαν καὶ μετὰ ὥραν κατέπεσον. Τρίτον μὲν ἀεροσκάφος, κατακρατηθὲν δὴ, κατερρίφθη ἐπὶ τὸ Πενταγώνον, Ὑπουργείου Ἀμύνης ἕδραν, τέταρτον δὲ ἀεροσκάφος εἰς ὕλην τινὰ πλησίαν τῇ πόλει Πίττσβουργ εἰσέπεσεν· τοῦτο μὴν τελευταῖον ἀεροσκάφος, ὥσπερ Κόλιν Πώβηλ εἶπεν, σκοπὸν εἶχε τὴν Λευκὴν Οἰκίαν ἐν τῷ Οὐασίγκτῳ, τὴν τοι οἰκίαν τὴν τοῦ τῶν ΗΑΠ προέδρου.*

**Rugby: England defeats All Blacks**
(11-11-02) (QTTP)

Ῥουγβι· ἡ Ἀγγλία τοὺς Πάντας Μέλανας νικᾷ

*ἡ τῆς Ἀγγλίας ἐκλογὴ ἐνίκησε χθὲς τοὺς τῆς Νέας Ζηλανδίας Πάντας Μέλανας (τριάκοντα καὶ ἓν - εἴκοσι καὶ ὀκτὼ) φιλικῷ ἀγῶνι ἐν τῷ Λόνδονι· τὰ δὴ ἔσχατα ἕνδεκα ἔτη ἡ Νέα Ζηλάνδια ἀεὶ ἐνίκα.*

**Irak accepts UN resolution**
(11-11-02b) (QTTP)

Τὸ Ἰρὰκ τὴν τοῦ Ἡνωμένων Ἐθνῶν Ὀργανισμοῦ (ΗΕΟ) ἀπόφασιν ἐνδέχεται

*ὁ τῶν ἐξωτερικῶν ὑπουρὸς τῆς Σαουδικῆς Ἀραβίας ἤγγειλε χθὲς τὸ Ἰρὰκ τὴν τοῦ ΗΕΟ ἀπόφασιν ἐνδέξασθαι. αὔτη μὴν ἡ ἀπόφασις τὸ Ἰρὰκ ἀπαιτεῖ τὴν εἰς τὴν χώραν εἴσοδον τοῖς τῶν ἀτομικῶν ὅπλων κατασκόποις· εἰ δὲ τὸ Ἰρὰκ τῷ ΗΕΟ ἀντέχοι, ὁ ΗΕΟ προσβολὴν ἐπὶ τὸ Ἰρὰκ ποιήσειεν ἄν.*

**Slovenia celebrates presidential elections**
(11-11-02c) (QTTP)

Ἡ Σλοβενία ἐκλογὴ τήμερον ἄγει περὶ προέδρου

*ἡ Σλοβενία τήμερον ἐκλογὴν περὶ προέδρου ἄξει· νομίζεται δὲ τὸν Δρνόβσεκ νικήσειν. αὕτη δὴ τοι ἡ χώρα νῦν ἀγαθῷ καιρῷ χρᾶται διότι ὁ τε Βορείου Ἀτλαντικοῦ Συμφώνου Ὀργανισμὸς (ΒΑΣΟ) καὶ ἡ Εὐρωπαία Ἕνωσις (ΕΕ) ἤδη συμβουλεύονται περὶ τὴν τῆς Σλοβενίας ἔνταξιν, ἅτε μεγάλην αὔξησιν ἐχούσης.*

**USA prepares for war against Irak**
(14-11-02)

*Αἱ Ἡνωμέναι Ἀμερικῆς Πολιτεῖαι (ΗΑΠ) ἐπὶ τὸν πρὸς τὸ Ἰρὰκ πόλεμον ἐπισκευάζονται*

*Τὸ Ἀμερικανὸν στράτευμα ἐπὶ τὴν πρὸς τὸ Ἰρὰκ δυνατὴν προσβολὴν ἐπισκευάζεται, ἐὰν αὕτη ἡ χώρα τὰς τοῦ Ἡνωμένων Ἐθνῶν Ὀργανισμοῦ (ΗΕΟ) αἰτήσεις ἀποδοκιμάζῃ. ὁ δ' Ἀμερικανὸς πρόεδρος Γ. Βοῦιξ φαίνεται σαφῶς δοκεῖν τὸ Ἰρὰκ τὰς ἐξαιτήσεις οὐ διατελήσειν, αἱ δὲ ΗΑΠ ἑτοῖμαί εἰσιν ἄνευ τῆς τῶν ἄλλων χωρῶν βοηθείας προσβαλεῖν. τοῦ Ἰρὰκ δυναμένου ἀτομικὰ ὅπλα ἐργάζεσθαι, ὁ πρόεδρος Βοῦιξ γνώμην πεποίηται μὴ πλείονα χρόνον τῷ Σαδδὰμ Οὑσσεὶν δοῦναι· ἄλλοι μὲν θαυμάζουσι διὰ τί αἱ ΗΑΠ οὐ τὴν τοῦ Σαδδὰμ Οὑσσεὶν ἀρχήν ἐν τῷ τοῦ Κόλπου Πολέμῳ διολέσειεν, ἄλλοι δὲ τῇ προσβολῇ ἀντιπράττουσιν.*

**Chief of UN inspectors requests collaboration from Irak**
(18-11-02)

*Ὁ τῶν τοῦ Ἡνωμένων Ἐθνῶν Ὀργανισμοῦ (ΗΕΟ) κατασκόπων προστάτης ἀπὸ τοῦ Ἰρὰκ ὅλην συνεργίαν ἀπαιτεῖ*

*Ἄνσ Βλίξ, προστάτης τοῦ τῶν κατασκόπων ἀποσπάσματος, πρὸς τὸ Βαγδὰδ πορευόμενος ἔφη χθὲς ἐν τῷ Παρίδι ὅτι ὁλὴν συνεργίαν παρὰ τοῦ Σαδδὰμ Οὑσσεὶν ἐλπίζοι· εἶπε καὶ τότε ὅτι ἥτις δὴ ἀπόφασις εἰσόδου, διατριβὴ ἢ πειρασμὸς τοῦ μή τι κατασκοπεῖν ἐᾶν κάκιστον εἴη. ὁ μὲν Βλὶξ αὔριον εἰς τὸ Βαγδὰδ ἀφίξεται, τὸ δὲ Βαγδὰδ διαβεβαιοῦται τὰς ἐπισκοπείας ἀποδείξειν τὴν τοῦ Σαδδὰμ Οὑσσεὶν ἀρχὴν τὰ ἀτομικὰ ὅπλα ἤδη ὀλεθρεύσασαν, ὥσπερ πρότερον εἶπον.*

*Ἐν δὲ τῇ Βρετανίᾳ ἡ φυλακὴ τρεῖς Ἀφρικανοὺς ἀνθρώπους χθὲς κατέσχεν ὡς ἀέριον κυάνιον ἐν τῷ Λονδινικῷ ὑπογείῳ σιδηροδρόμῳ εἰσβαλεῖν μηχανῶντας. ἡ γὰρ Βρετανικὴ φυλακὴ διαβεβαιοῦται τοὺς τρεῖς ἀνθρώπους τῷ Ἄλ Καέδα συνεργάζεσθαι. τῇ μὴν προτέρᾳ ἑβδομάδι ὁ πρωθυπουργὸς Τόνυ Βλάιρ συνεβούλευσε τοῖς συμπολίταις παραφυλάττειν δυνατῆς τρομοκρατικῆς ἐπὶ τὴν Βριτανίαν προσβολῆς ἕνεκα.*

**Israel army occupies Hebron after Sabbath attack**
(20-11-02)

*Ὁ τοῦ Ἰσραὴλ στρατὸς τὸ Ἑβρὸν μετὰ τὸν τοῦ Σαββάτος φόνον καταλαμβάνει*

*Ἐπειδὴ δώδεκα Ἰσραηλίτες ἐν τρομοκρατικῇ προσβολῇ ὑπὸ τῆς Ἰσλαμικῆς Υἰχὰδ ἐν τῷ Ἑβρὸν ἀπέθανον, ὁ Ἰσραὴλ αὐτίκα τὸ τῆς πόλεως Παλεστινικὸν μέρος κατέλαβεν· νῦν δὲ οἱ ἐν τέλει τῆς Ἀριὴλ Σιαρὼν ἀρχῆς περὶ τῶν δυνατῶν ἀντιπράξεων βουλεύονται, τριῶν τε πολιτῶν καὶ πέντε φυλάκων καὶ τεττάρων στρατιωτῶν ἀποθανόντων. ὁ τοῦ Παλεστινικοῦ προέδρου Ἰασσὴρ Ἀραφὰτ ἐντολεὺς ἔφη ὅτι ἡ σύρρηξις στρατιωτικὴν λύσιν οὐκ ἔχοι, μόνον δὲ πολιτικήν· ᾔτησε δὲ τὰς Ἡνωμένας Ἀμερικῆς Πολιτείας (ΗΑΠ) τῷ Ἰσραὴλ ἐπικελεῦσαι πάλιν πρεσβεύειν.*

*Τῆς παρασκευῆς, οἱ δώδεκα Ἰσραηλίται ἐν τῇ ἐπικαλουμένῃ "τῶν θρησκευόντων ὁδῷ" ἀπέθανον ἐπειδὴ θρησκευτικὴ πρᾶξις πέρας ἔσχεν· Παλεστινικὸν γὰρ τῆς Ἰσλαμικῆς Υἰχὰδ ἀπόσπασμα ἐπὶ τοὺς Ἰσραηλίτας πυρέβαλεν. λεπτὰ δέ τινα ὕστερον, ὅτε τὰ ἀσθενοχήματα τοὺς τραυματίας ἐν τῷ αὐτῷ τόπῳ συνελάμβανον, οἱ Παλεστινικοὶ τρομοκράται ἐπανελθόντες δευτέρην προσβολὴν ἐποιήσαντο. αὐτίκα δὴ μάλα ὁ Ἰσραηλιτικὸς στρατὸς ἀντέβαλεν.*

**Rugby: England defeats Australia**
(20-11-02b)

Ῥοῦγβι· ἡ Ἀγγλία τὴν Αὐστραλίαν μεγαλῇ ἐπιβουλῇ νικᾷ

*Νικήσασα τῇ προτεραίᾳ ἑβδομάδι τοὺς Πάντας Μέλανας, ἡ Ἀγγλία ἐνίκησε χθὲς (τριάκοντα καὶ δύο - τριάκοντα καὶ ἕν) τοὺς Αὐστραλιανούς, τοὺς ἐν τῷ παρόντι τοῦ κόσμου προστάτας.*

*Ἡ δὴ Ἀγγλικὴ ἐκλογὴ κεῖται νῦν ἐν καλλίστῳ καιρῷ, τοῦ προπονητοῦ Κλὶβ Οὔδοναρδ τὸν τοῦ ἀγῶνος τρόπον δυοῖν ἐτῶν διαλλάξαντος. νῦν μὴν ἡ Ἀγγλία ἧττον μὲν ἀλέξεται, μᾶλλον δὲ ἐπιβάλλει. οἱ ἀθληταὶ Κώην καὶ Οὐίλκινσων ποιηταὶ ἦσαν τῆς νίκης· ἐν δὴ τῷ ἐσχάτῳ λεπτῷ ὁ Αὐστραλιανὸς Μὰττ Βοῦρκ τῷ ποδὶ ἔβαλεν, ἡ δέ τοι φώδης σφαῖρα παρεκέβη.*

*Αὗται αἱ δύο νίκαι τῆς Ἀγγλίας ἐπὶ τοὺς τῆς Αὐστραλικῆς ἡμισφαιρίας γιγάντας κατακυροῦσι τὴν τοῦ ῥόδου ὁμάδα ὡς τὸν κράτιστον ἐν τῷ κόσμῳ ἐν τῷ παρόντι· τῆς δὲ ὑστεραίας ἑβδομάδος ἡ Ἀγγλία ἅμιλλαν ποιήσεται ἐπὶ τοὺς τῆς Νοτίας Ἀφρικῆς Σπρίνγβοξ.*

**Beauty contest in Nigeria: more that 200 dead**
(24-11-02)

Κάλλους ἀγὼν ἐν τῇ Νιγερίᾳ· πλείονες ἢ διακόσιοι ἀπέθανον

*Ὁ μὲν παγκόσμιος ἀγὼν ὁ περὶ τοῦ θηλικοῦ κάλλους ἔμελλεν ἐν τῇ Νιγερίᾳ συμβήσεσθαι, οἱ δὲ Ἰσλαμικοὶ μεγάλας στάσεις ἐποιήσαντο ὡς τοῦ ἀγῶνος τῇ Ἰσλαμικῇ θρησκείᾳ οὐχ ἁρμόζοντος. ἡ ἄρθρου τινὸς ἔκδοσις τὸν Μωάμεθ τῷ ἀγῶνι συνάπτοντος τῶν στασέων ἀρχὴ ἦν· τοῖς μὴν γὰρ Ἰσλαμικοῖς τοῦτο ἄτλητος βλασφημία ἐγένετο. αἱ δὲ ἐνίων χωρῶν μετέχουσαι εἰς τὴν Νιγερίαν πορεύεσθαι οὐκ ἐβουλήθησαν ὡς χώραν οὖσαν ἐν ᾗ γυναῖκες ὑπὸ τῶν ἀνδρῶν καταλεύονται.*

*Ἡ σύρραξις ὑπήρξατο ὅτε οἱ Ἰσλαμικοὶ κατὰ τοὺς Χριστιανοὺς ὡρμήσαντο καὶ Χριστιανούς τινας νεὼς ἐνέπρησαν, τῶν φυλακῶν τούτοις ἔργοις ἀντεχόντων. τέλος δὲ οἱ τὸν ἀγῶνα ὀργανοῦντες ἤγγειλαν αὐτὸν ἐν τῷ Λόνδονι ποιητέον εἶναι. χθὲς δὲ αἱ στάσεις ἤδη μὲν ἐπαύοντο, παντελῶς δὲ οὔ.*

**Ecological disaster due to Prestige shipwreck**
(24-11-02b)

Οἰκολογικὴ καταστροφὴ διὰ τὴν τῆς Πρεστίγης νεὼς ναυαγίαν

*Ἡ τῆς Πρεστίγης νεὼς ναυαγία πετρέλαιον φερούσης αἰτία ἐστὶν τοῦ πολλῶν χιλίων τόννων ἀποχεύματος τῆς Ἰσπανικῆς ἀκτῆς ἐναντίον, πρὸ τῆς Γαλιθίας. ἡ γὰρ ναῦς κατεάγη, κεῖται δὲ νῦν τρεῖς χιλιάδες μέτρα κατὰ τῶν ὑδάτων ἐν τῷ τῆς θαλάττης βυθῷ. νῆες μὲν ἀλλοίων χωρῶν συμπράττουσιν καὶ ἐπιμελοῦνται ὅπως τὸ πετρέλαιον περικλείσουσιν, πολλοὶ δὲ ἁλιεῖς καὶ ἄλλοι ἑκόντες βοηθοῦντες τὸ πετρέλαιον ἐν τῇ ἀκτῇ παρὰ τετρακοσία χιλιόμετρα ἐπικείμενον ἀφαιροῦσιν. πρὸς δὲ τούτοις ἡ Γαλλία τὸ ἐπιστημονικὸν ὑποβρύχιον Ναυτίλη τῇ Ἰσπανίᾳ παρέσχεν, ἵνα τὸ τῆς Πρεστίγης κατάστημα ἐξετάζοι· τὸ δὴ Ναυτίλη ἔνδοξόν ἐστιν ἅτε τἀπίλοιπα τὰ τοῦ Τιτάνικ εὑρόν.*

**Triple terrorist attack against Israel**
(01-12-02)

Τριπλῆ τρομοκρατικὴ ἐπὶ τὸ Ἰσραὴλ ἐπιβολή

*Τῇ Πέμπτῃ εἴκοσι καὶ ὀκτὼ τοῦ Νοεμβρίου τρεῖς τρομοκρατικαὶ ἐπὶ Ἰσραηλινοὺς πολίτας ἐπιβολαὶ συνέβησαν· τῇ δὴ πρώτῃ ἐν τῇ Κενίᾳ ἐπιβολῇ οἱ τρομοκράται βόμβαν-αὐτοκίνητον ἀνετίναξαν ἐν ξενοδοχείῳ ἐν ᾧ πολλοὶ Ἰσραηλινοὶ πολῖται ᾤκουν, πεντεκαίδεκα μὲν ἀνθρώπους*

*ἀπέκτειναν, οἱ δὲ τρομοκράται καὶ αὐτοὶ ἀπέθανον· ἔπειτα δὲ τῇ δευτέρῃ ἐπιβολῇ καὶ ἐν τῇ Κενίᾳ δύο πύραυλοι Στέλα ἐπὶ Ἰσραηλινὸν ἀεροσκάφος Βώειγγ ζ΄ε΄ζ΄ ἀπὸ τοῦ ἐν Μομβάσῃ ἀερολιμένος ἀπογειωνομένον ἐβλήθησαν, ἀλλὰ οἱ πύραυλοι τὸν σκοπὸν εὐτυχῶς ἥμαρτον· τέλος δὲ τῇ τρίτῃ ἐπιβολῇ, ἐν τῷ Ἰσραὴλ ἐργασθείσῃ, τρεῖς Παλαιστίνιοι ἕδραν τινὰ τοῦ Λικοῦδ κόμματος ὁπλοπολυβόλοις ἐπέβαλον, ἕξ τε Ἰσραηλῖται καὶ δύο τρομοκράται ἀπέθανον.*

*Σύστασις μέν τις "Στρατιὰ τῆς Παλαιστίνης" αὐτοκαλουμένη εἶπεν ὅτι αὐτὴ τῶν ἐπιβολῶν ὑπεύθυνος εἴη· οἱ μὲν Ἰσραηλινοὶ φυλακὲς νομίζουσιν ὅμιλον τινὰ τῇ "Αλ Καΐδα συναπτὸν αἴτιον εἶναι, ἡ δὲ Ἀμερικανὴ ἀρχὴ διχογνωμονεῖ, οἷα ὑποπτεύουσα ὅμιλον τινὰ τῆς Σωμαλίης αἴτιον εἶναι.*

**Michael Jordan to retire at end of season (nobody believes him)**
(01-12-02b)

<u>*Μιχαὴλ Χόρδαν τῇ τοῦ ἀγῶνος τελευτῇ ἀποείξει (οὐδεὶς αὐτῷ πιστεύει)*</u>

*Ὁ Μιχαὴλ Χόρδαν, τις τῶν ἐνδοξοτέρων παγκοσμίων ἀθλητῶν, διαβεβαιοῦται αὐτὸς τῇ τοῦ ἐτεσίου ἀγῶνος τελευτῇ ἀποείξειν ἵνα πάλιν συγκεκτημένος τῶν Οὐάσιγκτον Οὐΐζαρδς γενῆται. τὸ μὲν τρίτον Μ. Χόρδαν λέγει ὅτι ἀποείξει (ἀγωνίζει μὴν ἔτι), διαβεβαιοῦται δὲ νῦν μάλιστα ἀληθεῦσαι, ἀλλὰ οὐ λανθάνει ἴσως ψευδόμενος· διὰ τί; διότι τότε ὁ αὐτοῦ νόστος μάλιστα ὑμνηθήσεται. γεγονὼς ἤδη τοι τριάκοντα καὶ ἐννέα ἔτη, ἄλλας ἐμπορικὰς διανοίας τῷ μέλλοντι χρόνῳ ἐν νῷ ἔχει. ὡς ἐπαγγελματίας ἀγωνίζων τέτταρες καὶ δέκα ἔτη, ἑξάκις ἐν τῷ τῆς NBA ἀγῶνι ἐκράτησεν, πεντάκις δὲ βέλτιστος τοῦ ἀγῶνος μεθέκτης ἐγένετο καὶ δεκάκις μεγίστην βαθμολογίαν κατεκτήσατο.*

*Χόρδαν πίστιν δίδωσι μὴ ἄλλον συμβόλαιον συγγράψειν· μένειν μὴν δεῖ ἵνα ἰδῶμεν πότερον ἀληθῆ λέγει ἢ οὔ. πολλοὶ δὴ ἀθληταὶ πολλάκις λέγουσι μὲν ὅτι τάχα ἀποείξουσιν, αἰσθάνονται δὲ ἔπειτα τοῦτο πρὸ τοῦ δέοντος εἰπόντες. τῶν γὰρ θεατῶν αὐτὸν θαυμαζόντων, ὁ Χόρδαν ἔτι καὶ νῦν ἐν τῇ ἀκμῇ ἐστιν.*

**Joan Perucho, National prize of Spanish Literature 2002**
(04-12-02)

<u>*Ἰωάννης Περύξω, Ἐθνικὸν Νικητήριον τῆς Ἰσπανικῆς Λογοτεχνίας ,ββ΄*</u>

*Ἰωάννης Περύξω, γεγονὼς ἐν τῇ Βαρκελώνῃ, ἔκτησε τῇ παρασκευῇ τὸ Ἐθνικὸν Νικητήριον τῆς Ἰσπανικῆς Λογοτεχνίας ,ββ΄· τοῦτο τοι τὸ νικητήριον κατ' ἐνιαυτὸν ὑπὸ τοῦ Ὑπουργείου Παιδείας παρέχεται. ὁ δὴ ποιητής, τὸ νικητήριον δεξάμενος, εἶπεν ὅτι ἡ μεγιστὴ αὐτοῦ τῇ Ἰσπανικῇ λογοτεχνίᾳ εἰσφορὰ τὸ Καταλανικὸν τῷ Ἰσπανικῷ συσσωματοποιῆσαι εἴη, ἐπαγγέλλει δὲ αὐτὸς δίγλωττος εἶναι, τοῦ τε Θερβάντης καὶ τοῦ Ῥαμὼν Λλοῦλλ ἐξ ἴσου θαυμαστής. ὁ μὴν Περύξω ἐκ τῶν νῦν ποιητῶν διὰ τὴν ἑαυτοῦ τέχνην προέχει.*

*Τὰ δὲ πολὺ γνώριμα αὐτοῦ μυθιστορήματά ἐστιν "ἡ τῶν ἱππικῶν βίβλος", ἐν ᾗ τὴν τῶν Καταλάνων ἐν τῇ Ἀνατολῇ περιπέτειαν (τῶν Ἀλμογαβαρῶν) ἀναμιμνήσκει, καὶ "αἱ τοῦ Κόσμας ἱππέως περιπέτειαι" καὶ "αἱ αὐτοφυεῖς ἱστορίαι" (τοῦτο τὸ μυθιστόρημα μετεγράφη πρὸς εἴκοσι καὶ πέντε γλώττας)· αὗται αἱ τρεῖς βίβλοι ἀναγνωστέαι εἰσίν, ἅτε τοῦ ποιητοῦ αὐτὰς ἐν τῇ ἀκμῇ γράψαντος, ἀπ' αὐτῶν γὰρ ἡ ἱστορικὴ ἐπιστήμη πηγάζει. Ἰωάννης Περύξω, νῦν ὀγδοήκοντα καὶ τρία ἔτη γεγονώς, τὸ ἐπιτήδευμα δικαστής ἐστιν.*

**Alexander Dumas rests already in the Pantheon**
(08-12-02)

'Ο 'Αλεξάνδρος Δοῦμας ἤδη ἐν τῷ Πανθέῳ κεῖται

Τὸ τοῦ 'Αλεξάνδρου Δοῦμας σῶμα ἤδη παρὰ τῷ ἑαυτοῦ φίλῳ Βίκτωρ Οὔγω ἐν τῷ Παρισίῳ κεῖται. σεμνῆς γὰρ πομπῆς γενομένης, τὸ φέρετρον ἀπὸ Βιλλὲρς-Κοττερῆτς, δήμου ἐν ᾧ ὁ συγγραφεὺς ἐγένετο, εἰς τὸ τοῦ Μόντε-Χρίστου φρούριον (πλησίον τῷ Παρισίῳ) ἠνέχθην, οὗ πολλοὶ ἄνθρωποι αὐτὸν τῇ παρασκευῇ ἐτίμων· ἔπειτα δὲ εἰς τὸν Παρίσιον ἀφίκετο καὶ ἐν τῷ Πανθέῳ ἐτέθη.

ὁ δὲ 'Αλεξάνδρος Δοῦμας τὰς ἐνδοξοτάτας βίβλους "ὁ τοῦ Μόντε-Χρίστου Κόμης" καὶ "οἱ τρεῖς Μουσκετιέρς" ἔγραψε καὶ διὰ τοῦτο νῦν ἐν τούτῳ τῷ χωρίῳ κεῖται, μόνον γὰρ πέντε συγγραφεῖς ἐκεῖ τὰ πρόσθεν ἔκειντο· Βολτῆρ, 'Ρουσσώ, Βίκτωρ Οὔγω, 'Εμὶλ Ζωλὰ καὶ 'Ανδρῆ Μαλρῶ. ἑβδομήκοντα δὴ οἱ πάντες ἄνθρωποι οἳ ἐν τούτῳ τῷ Πανθέῳ κεῖνται, οἱ ἐπικαλούμενοι "Μεγάλοι τῆς Γαλλίας".

οἱ μὲν πάντες ἄνθρωποι τὴν τούτων τῶν βίβλων ὑπόθεσιν γιγνώσκουσιν, ὀλίγιστοι δὲ αὐτὰς τὰς βίβλους ἀνεγνώκασιν (μακρότατοι γάρ εἰσιν)· ἡ οὖν αὐτῶν ἀνάγνωσις, σχολῆς οὔσης, παρακελευστέα ἐστίν, ἐὰν καιρὸς γένηται.

**White House spokesman says that Saddam Hussein lies**
(08-12-02b)

'Ο τῆς Λευκῆς Οἰκίας φερέφωνος φησὶ τὸν Σαδδὰμ Οὐσσεὶν ψεύδεσθαι

'Ο διαλεκτικός τε καὶ ψυχολογικὸς παρὰ τῷ Οὐασίγκτῳ καὶ τῷ Βαγδὰδ πόλεμος συνεχίζεται, τῶν τοῦ 'Ηνωμένων 'Εθνῶν 'Οργανισμοῦ (ΗΕΟ) κατασκόπων τὸ ἔργον ἐν τῷ μεταξὺ διατελούντων. ὁ μὴν "Αρι Φλείξηρ, ὁ τῆς Λευκῆς Οἰκίας φερέφωνος, εἶπεν ὅτι αἱ ὑπὸ τοῦ Σαδδὰμ Οὐσσεὶν κατασταθεῖσαι ἐξαγγέλσεις δόλιαι εἶεν, ὡς τὸ γνήσιον ὀλέθριον κράτος τὸ τοῦ 'Ιρὰκ οὐ δεικνῦσαι.

τέως δὲ τὸ Πενταγώνον λογιστικὰς ἀσκέσεις ἐν Κάταρ διαπράττει, πρόφασιν μὲν ὡς τὰς κοινοποιήσεις τὰς ἐν ὑποθετικῷ τινι τῆς στρατηγικῆς ἀρχῆς κέντρῳ πειρῆσον, ἄλλοι δὲ ὑποπτεύουσι ταύτας τὰς ἀσκέσεις ἑτοιμασίαν τῇ ἐπὶ τὸ 'Ιρὰκ μελλούσης ἐπιβολῇ εἶναι. ἐὰν αἱ 'Ηνωμέναι 'Αμερικῆς Πολιτεῖαι (ΗΑΠ) τῷ 'Ιρὰκ ἐπέρχωνται, ὁ τέτταρσι ἀστέρσι στρατηγὸς Τόμμυ Φράνξ τῷ στρατεύματι προστήσεται.

προχθές τοι τὸ ἀεροσκαφοφόρον "Αρρι Τροῦμαν ἐκ τοῦ Νώρφολκ ἐξέπλευσεν ὡς τὸ Γεώργιον Οὐάσιγκτον διαδεξόμενον, τῶν ἐπιβατῶν μεταυτίκα ἐν τῇ ἐπὶ τὸ 'Ιρὰκ ἐπιβολῇ μεθέξειν δοκούντων· ἡ δὴ ἀρχαῖα Μεσοποταμία φαίνεται διὰ τῆς ἱστορίας χώρα τῷ πολέμῳ ὑπὸ τῶν θεῶν φορυκτὴ οὖσα.

**Intercepted missile cargo given back to Iemen**
(11-12-02)

πυραύλων καταληφθεὶς φόρτος τῷ 'Ιέμην ἀποδίδοται

'Ο καταληφθεὶς φόρτος δοκεῖ κατὰ τὴν νομίαν ἐν τῇ Βορείῃ Κωρέᾳ ὑπὸ τοῦ 'Ιέμην ὠνηθῆναι. ἡ δὴ ὁλκὰς ὑπὸ 'Ισπανικῆς στρατιωτικῆς νεὼς κατελήφθε διότι ὁ μὲν τῆς ὁλκάδος τριήραρχος εἶπεν ὅτι τὸν φόρτον οὐδὲν ἄλλο ἢ ἐνδομησέως ἐργαλεῖα εἴη, τὸν δὲ 'Ισπανικὸν τριήραρχον τοῦτο οὐκ ἔλαθε ψευδὲς ὄν· ὀρθῶς δὲ ἔγνω οὗτος ὁ τριήραρχος, τὸ γὰρ φορτίον ἔτυχε πυραυλοὶ Σκοὺδ πεντεκαίδεκα ὄν. ἀρχὴν μὲν ἐδόκει τοῦτο τοῖς τῆς "Αλ Καῖδα τρομοκράταις πεμφθῆναι, τέλος δὲ αὕτη ἡ ὑποψία ἀλεθὴς οὐκ ἐγένετο.

*ἡ μὲν ἐν τῷ Ἰέμην ἀρχὴ ἐπὶ τούτῳ ἠγανάκτησεν, αὐτὴ δὲ μὴ πυραύλους ὠνήσεσθαι πρὸ τοῦ ὑπέσχητο· τὴν οὖν ὑπόσχεσιν διέλυσεν, τί δεῖ νῦν ποιεῖν, τὸ Ἰέμην κολάζειν ἢ οὔ; πρός τοι τὸ παρὸν τὸ φορτίον τῷ Ἰέμην ἀποδέδοται.*

*οἱ μὲν Σκοῦδ πυραῦλοι ἤδη ἀρχαῖοί εἰσιν, τὸ γὰρ Ἰρὰκ αὐτοῖς ἐν τῷ τοῦ Κόλπου Πολέμῳ ἐπὶ τὸ Ἰσραὴλ ἐχρῆτο, ὀλέθριαν δὲ μεγάλην δύναμιν ἔτι καὶ νῦν ἔχουσι καίπερ ἀρχαῖοι ὄντες.*

**Turkey asks for admission into European Union**
(13-12-02)

*Ἡ Τουρκία τὴν εἰς τὴν Εὐρωπαίαν Ἕνωσιν εἴσοδον αἰτεῖ*

*Ἡ Τουρκία ἤδη πάλαι, ἐν βραχεῖ συνθείς, εἰς τὴν Εὐρωπαίαν Ἕνωσιν (ΕΕ) εἰσβαίνειν ἐβούλετο, καίπερ τῶν ἄλλων χωρῶν ἐναντιούντων· πολλὰς μὲν γὰρ ἀπρεπείας οἱ ἄλλοι εἶδον, λυσιτέλειαν δὲ οὐδεμίαν.*

*καὶ μὴν χθὲς ἡ Τουρκία ἐν τῇ Κοπεγχάγῃ διπλωματικῶς ἔπραξεν ὡς τῇ εἰσόδῳ ἐπιτύχοι. χθὲς γὰρ οἱ ἐν τέλει οἱ τῶν πεντεκαίδεκα χωρῶν ἐβουλεύοντο ὁπότε λόγους προσενεγκεῖν δέοι. Αὕτη δὴ ἡ εἴσοδος τῇ ἄλλων δέκα χωρῶν τῷ ἔτει ͵βδ' ἐνσωματώσει συντίθεται (ὀκτὼ τοι τούτων τῶν δέκα χωρῶν τὰ πρόσθεν κομμουνιστικῇ ἀρχῇ ἐχρήσαντο). πρὸς δὲ τὸ παρὸν ἡ οἰκονομικὴ περὶ τῆς εἰσόδου προσφορὰ τὴν Πολωνίαν οὐκ ἀρέσκει· ἡ μὲν γὰρ Γερμανία νομίζει τὸν τῆς ταύτης τῆς χώρας εἰσόδου ὦνον περισσῶς μέγαν εἶναι, ἡ δὲ Πολωνία μᾶλλον αἰτεῖ.*

*οὐδὲν ἧττον τὸ τούτων τῶν νέων ἐνσωματώσεων πρόβλημα ἐν τῷδε κεῖται, ὅτι αὗται αἱ χῶραι οὐ λανθάνουσι χρήματα ληψόμεναι μᾶλλον ἢ δώσουσαι.*

**Rugby European Cup: USAP wins Gloucester**
(15-12-02)

*Ῥοῦγβυ Εὐρωπαῖον Κύπελλον· ἡ ΥΣΑΠ τὸ Γλουκέστηρ νικᾷ*

*Χθὲς περὶ δείλην ἐν Περπιγνὰν (ἐν τῇ Γαλλίᾳ) ἥ τε ἐντόπιος ὁμὰς ΥΣΑΠ καὶ ἡ τοῦ Γλουκέστηρ ὁμὰς εὖ μάλα ἠγωνίσαντο. τῇ γὰρ Γαλλικῇ ὁμάδι οὗτος ὁ ἀγὼν σημαντικότατος ἦν· εἰ γὰρ μὴ ἐνίκησεν, ἐκ τοῦ ἀγῶνος ἐξῆλθεν ἄν. τῇ μὴν προτεραίᾳ ἑβδομάδι ἐνίκησαν οἱ Ἄγγλιοι ἐν τῷ Γλουκέστηρ, χθὲς δὲ ἡ ΥΣΑΠ τὸν ἀγῶνα ἤδη ἐξ ἀρχῆς ἐκράτησεν· τοῦ μὲν γὰρ ἀγῶνος ἑπομένου οἱ Ἄγγλιοι τῷ Γαλλικῷ τέρματι οὐ προσεχώρουν, τῆς δὲ τελευτῆς προσχωρούσης δύο κατεπαφὰς ἐκτήσαντο, καὶ μὴν τὴν δευτέρην ἐν τῷ ἐσχάτῳ λεπτῷ. τὸ δὲ τοῦ ἀγῶνος ἀποτέλεσμα λ'α' - κ'γ' ἦν.*

*εἰ ἡ ΥΣΑΠ, ἡ ἐμὴ φιλτάτη ὁμάς, τῶν τοῦ ἀγῶνος τετάρτων τυχεῖν βούλεται, δεῖ ἐν τοῖς δυοῖν ἐχομένοις ἀγῶσι νικᾶν (αὖθις ἐν Περπιγνὰν καὶ ἐν τῇ Ἰταλίᾳ)· τοῦτο δήπου οὐ χαλεπὸν ἔσται.*

*περὶ δὲ τοῦ Γαλλικοῦ πρωταθλήματος, τῇ ἐχομένῃ ἑβδομάδι ἀγωνίσει ἡ ΥΣΑΠ ἐπὶ τὴν Ναρβόννην· ὁ τοι ἀγὼν δεινότατος ἔσται, ἐν οὖν ἐλπίδι ὦμεν τὸν ἀγῶνα ἐν τῇ ἀθλετικῇ νομίᾳ παραγενήσεσθαι.*

**The new Mythological Atlas of Greece**
(19-12-02)

*Ὁ νέος Μυθολογικὸς Ἄτλας τῆς Ἑλλάδος*

*Ὁ Ἱσπανικὸς ἐρευνητὴς Πέδρο Ὀλάγια τῇ Δευτέρᾳ τὸ αὐτοῦ νέον ἔργον Μυθολογικὸν Ἄτλαντα τῆς Ἑλλάδος ἐν τῇ Βαρκελώνῃ ἀπέδειξεν.*

*Αὕτη μὴν ἡ βίβλος ἀκριβεστάταν χαρτογραφίαν τῆς Ἑλληνικῆς μυθολογίας ἡμῖν παρέχει, κεῖνται δὲ καὶ αἱ λογοτεχνικαὶ πηγαί. ὁ οὖν συγγραφεὺς ἀνὰ ἓξ ἔτη τοῦτο τὸ ἔργον ἔγραψεν. ἥ τε τῶν τῆς βίβλου μηνυμάτων ἀκρίβεια καὶ ἡ τῶν ὁδῶν διήγησις εἰς τοὺς πολλοὺς τόπους εἰσελαυνόντων παντελής ἐστιν. Αὕτη δὴ ἡ βίβλος βελτίστη ἐστὶν οἷς διὰ τῆς Ἑλλάδος ὁδοιπορεῖν ἐθέλουσιν, ἐὰν τοὺς τόπους ἐν οἷς τὰ τῆς μυθολογίας ἔργα συνέβησαν εὑρεῖν βούλωνται, παραδείγματα δὲ παρέχω· δυνατόν ἐστι τὸ τοῦ ἐν τῇ Νεμέᾳ λέοντος σπήλαιον ὁρᾶν καὶ τὴν ἐν τῇ Κασταλίᾳ κρήνην καὶ τὸ παρὰ τὴν Πλάταιαν πεδίον ἐν ᾧ ὁ Οἰδίπους ἀπελείφθη κτλ., ὁ γὰρ συγγραφεὺς αὐτὸς τὰς φωτογραφίας διὰ τῆς πάσης Ἑλλάδος πορευόμενος ἐποίησεν. ἡ δὲ βίβλος ἤδη ἐν τῇ Ἀγγλικῇ καὶ ἐν τῇ Ἑλληνικῇ γλώττῃ ἐξεδόθη.*

*ὁ συγγραφεὺς, ἐν τῷ Ὀβιέδῳ (ἐν τῇ Ἱσπανίᾳ) γεγονώς, νῦν ἐν ταῖς Ἀθήναις οἰκεῖ, ἐν δὲ τῷ τῶν Ἀθηνῶν Πανεπιστημίῳ διδάσκει, καὶ δὴ καὶ πολλὰ παρὰ τῇ Ἑλληνικῇ καλλιεργείᾳ (τῇ τε τότε καὶ τῇ νῦν) προκείμενα ἐξετάζει, ἐκτιμᾶται δὲ οἷα τῶν πάσης τῆς γῆς βελτίστων ἐν τῇ Ἑλληνικῇ καλλιεργείᾳ ἐπαϊόντων ὤν.*

**USA starts antimissile shield deployment**
(21-12-02)

*Αἱ Ἡνωμέναι Ἀμερικῆς Πολιτεῖαι (ΗΑΠ) τὴν ἀντιπύραυλον ἀσπίδα ἐκτείνουσιν*

*Ὁ Ἀμερικανὸς πρόεδρος Γ. Βοῦιξ ἐκέλευσε ταύτης τῆς ἑβδομάδος τὴν ἀντιπύραυλον ἀσπίδα ἐκτείνειν, ὡς ἐπιχειρούμενος τὰς ΗΑΠ ἧττον τρωτὰς γενήσεσθαι. ὁ μὲν γὰρ Γ. Βοῦιξ ἐθέλει δέκα ἀντιπυραύλους τῷ ἔτῃ ͵βδ' ἐν τῇ Ἀλάσκῃ ἑτοίμους ἔσεσθαι, τὸ δὲ σύστημα οὐκέτι εὐτρεπές ἐστιν· ἀπὸ γὰρ ὀκτὼ πειρῶν μόνον πέντε εὐτύχησαν, ἀλλὰ ὁ Δώναλδ Ῥύμσφελδ ἔφη ὅτι τοῦτο σύντροφον εἴη διότι ταῦτα τὰ μηχανήματα ἔσχατα εὑρήματά ἐστιν. ὁ δὲ Γ. Βοῦιξ ἔφη ταύτην τὴν ἀσπίδα οὐ μόνον τὰς ΗΑΠ ἀλλὰ καὶ τοὺς συμμάχους φυλάξειν ἐπὶ τοῖς τρομοκράταις οἵτινες ἀτομικὰ ὅπλα ἔχοιεν.*

*ἄλλως τε καὶ πολλοῦ ἀξιώτατον μεμνῆσθαι τὴν Βορείην Κωρέαν τῇ τῶν ἀτομικῶν ὅπλων προαιρέσει αὖθις ἐπιχειροῦσαν, καίπερ μεγάλης οἰκονομικῆς κρίσεως ἐν τῇ χώρᾳ οὔσης. ἡ μέντοι Λευκὴ Οἰκία ἀπήγγειλε τοὺς ἐν τῇ Ἀλάσκῃ ἀντιπυραύλους ἀποληψομένους τοὺς πολεμίους ἐκ τῆς Βορείης Κωρέας βληθέντας πυραύλους. "ἐπὶ τί δέεται αὕτη ἡ χώρα ἀτομικὰ ὅπλα ἀπεργάζεσθαι;" ἐρωτῶσι τινές· τήν τοι ἀπόκρισιν ἐνίων ἐτῶν εἰσόμεθα.*

**Rugby: USAP wins Narbonne 39-0 in French Championship**
(22-12-02)

*Ῥοῦγβυ· ἡ ΥΣΑΠ τὴν Ναρβόννην λ'θ'-οὐδὲν ἐν τῷ Γαλλικῷ Πρωταθλήματι νικᾷ*

*Ἡ Καταλανικὴ ὁμὰς ΥΣΑΠ χθὲς οἴκοι, ἐν τῇ Περπιγνάν, τὴν Ναρβόννην μεγαλῇ ἐπιβουλῇ ἐνίκησεν· τὸ δὴ στάδιον πλῆρες ἐγένετο καὶ τὰ περιόντα κάλλιστα ἦν, ὡς ἑορτὴ τῷ ὄντι, διότι οἱ ἀγῶνες ΥΣΑΠ-Ναρβόννη ἀεὶ μεγάλην μὲν φιλονικίαν τοῖς ἀγωνισταῖς παρέχουσιν, τοῖς δὲ θεαταῖς μέγα θέαμα· πρὸς δὲ τούτοις ἀμφότεραι ὁμάδες ἐν τῷ αὐτῷ τῆς διατάξεως τόπῳ ἦσαν, καὶ ἀναγκαῖον ἦν νικῆσαι ᾧτινι ἐν τῷ δευτέρῳ τοῦ Γαλλικοῦ Πρωταθλήματος μέρει ἀγωνίσασθαι βουληθείη.*

*ἤδη μὴν ἐν τῇ τοῦ ἀγῶνος ἡμισείᾳ ἡ συμφορὰ αἴσιος τῇ ΥΣΑΠ ἐφαίνετο, ἐν μὲν τῇ τοῦ δευτέρου*

*μέρους ἀρχῇ ἐπείρασεν ἡ τῆς Ναρβόννης ὁμὰς μεγαλὴν ἐπιστροφὴν ἐργάσασθαι, ἡ δὲ ΥΣΑΠ τοῦτο ἐκώλυσεν· οἱ μὲν γὰρ Καταλανικοὶ στρατιῶται ὁπλιτικῇ φάλαγγι διετάξαντο, οἱ δὲ πολέμιοι διὰ ταύτης διαπερᾶν οὐκ ἐδύναντο.*

*τοῦ δὴ ἀγῶνος ἐπὶ τῇ πόᾳ συμβαίνοντος, οἱ θεαταὶ ἐν τῇ ἀθλετικῇ νομίᾳ ἡμᾶς αὐτοὺς παρείχομεν, τὸν δὲ βραβέα οὐκ προὐπηλακίσαμεν.*

*εἰ γὰρ οἱ θεοὶ τῇ ΥΣΑΠ ὠφελήσειαν.*

**"Bildung", by Dietrich Schwanitz, one of 2002 best sellers**
(26-12-02)

*"Παιδεία", ὑπὸ Δ. Σβάνιζ γραφεῖσα, τῷ ,ββ' ἔτει πλεῖστον ἐπωλήθη*

*αὕτη μὲν ἡ βίβλος ἤδη τῷ ,βα' ἔτει μέγα ἐπέτυχεν, τῷ δὲ ,ββ' ἔτει ἔτι μείζονα δόξαν ἔκτεινεν. ἐν γὰρ τῇ Γερμανίᾳ ὡς ἔοικε πλείονα ἢ ἑκατομμύριον ἀντίτυπα ἐπωλήθησαν.*

*ὁ δὴ συγγραφεύς, Διέτριξ Σβάνιζ, πειρᾷ (κατεργάζεται δή) τὴν πᾶσαν Εὐρωπαϊκὴν παιδείαν συνοψίζειν. αὕτη οὖν ἡ βίβλος βελτίστη ἐστὶν τούτοις Εὐρωπαίοις οἵτινες τὴν ἑαυτῶν παιδείαν εὖ γνῶναι βούλωνται ἂν καὶ αὐτῇ ἐπὶ τὴν τοῦ βίου εὔθυνσιν χρῆναι διανοῶσι. πῶς γὰρ ἡ δημοκρτατία ἐγένετο; τίς ἐστιν Ἄμλητ; τί ὁ λόγος "πολιτεία" σημαίνει; τί Εἰδήγηρ εἶπεν; Δ. Σβάνιζ πάντα ταῦτα τὰ ἐρωτήματα, καὶ πολλὰ δὴ ἄλλα, ἀποκρίνεται. οὗτος γὰρ ἐξ τῆς ἀρχῆς τὴν ἡμετέραν Εὐρωπαϊκὴν ῥίζαν ἐξετάζειν ἐπιχειρεῖ· τά τε τοῦ Χριστιανισμοῦ βιβλία καὶ ὁ Ὅμηρος καὶ ὁ Καρλομάγνος καὶ ὁ Βίσμαρκ καὶ πολλοὶ δὴ ἄλλοι στῦλοί εἰσι τὸ Εὐρωπαϊκὸν οἴκημα ὑποφέροντες. ὃς τὴν Εὐρωπαϊκὴν παιδείαν γνῶναι ἂν βούληται, τούτῳ ἀναγνωστέα αὕτη ἡ βίβλος ἐστίν.*

*Δ. Σβάνιζ, ἑξήκοντα καὶ δύο ἔτη γεγονώς, Ἀγγλικὴν μὲν Φιλολογίαν καὶ Ἱστορίαν καὶ Φιλοσοφίαν ἐν τοῖς πανεπιστημίοις τοῦ τε Μύνστηρ καὶ τοῦ Λόνδονος καὶ τῆς Φιλαδελφίας καὶ τοῦ Φριβοῦργ ἔμαθεν, ἔπειτα δὲ ἐν τῷ τοῦ Ἄμβυργ Πανεπιστημίῳ ἐδίδαξε καὶ ἐν τῷ παρόντι ὡς συγγραφεὺς ἐργάζεται.*

**North Korea aspires to intimidate USA**
(26-12-02b)

*Ἡ Βορεαία Κωρέα τὰς Ἡνωμένας Ἀμερικῆς Πολιτείας (ΗΑΠ) ἐκφοβεῖσθαι ἐπινοεῖ*

*Ὁ τῶν ἐξωτερικῶν ὑπουργὸς ὁ τῆς Βορεαίας Κωρέας, Κὶμ Ἴλ Ξιώλ, ἐπεκέλευσε πάντας τοὺς στρατιώτας ἀνθρωπίνας βόμβας ἐπὶ τὰς ΗΑΠ γενέσθαι. αὕτη δὴ ἡ διαλεκτικὴ ἅμιλλα ἤρξατο ἐπειδὴ ἡ Βορεαία Κωρέα ἀτομικὴν ἐγκατάστασιν ἤδη ἑπτὰ ἔτη κλειστὴν πάλιν ἀνέῳξεν. ἡ Βορεαία Κωρέα λέγει ὅτι αὕτη ἡ ἐγκατάστασις μόνον ὡς ἠλεκτρικὴν ἐνέργειαν ἀναδώσουσα ἐργάσεται, αἱ δὲ ΗΑΠ διαβεβαιοῦνται ταῦτα μὲν ψευδῆ εἶναι, τὴν δὲ ἐγκατάστασιν ἀλεθῶς ἀτομικὰ ὅπλα ἐργάσεσθαι. τῆς δὲ Βορεαίας Κωρέας ἀτομικὰ ὅπλα ἐργαζομένης, ἡ τῆς Ἀσίας εἰρήνη κατὰ τὸ εἰκὸς διαλυθήσεται· συγχωρεῖ οὖν ὡς τάχιστα ἐκμαθεῖν τί ὄντως ἡ Βορεαία Κωρέα τῇ ἀτομικῇ ἐγκαταστάσει μέλλει ποιεῖν.*

*ὁ μὲν τῆς Βορεαίας Κωρέας ὑπουργὸς νομίζει ταύτην τὴν ῥητορικὴν χρησίμην ἐσομένην, ὁ δὲ Δώναλδ Ῥοῦμσφελδ, ὁ τοῦ Πενταγώνου ἡγεμών, λέγει ὅτι αὐτός τε καὶ οἱ Ἀμερικανοὶ οὐκ ἐκφοβηθήσονται. ἄλλως τε καὶ ἐν ταύτῃ τῇ ἔριδι οὐ λανθάνει ἡ Νοτία Κωρέα, σύμμαχος τοῖς ΗΑΠ οὖσα, μεγάλην δύναμιν ἐκεῖ ἔχουσα. ἄμφω γὰρ αἱ χῶραι ἐπὶ τοῖς ἴσοις καὶ δικαίοις συμμαχίαν*

*ἐποιήσαντο, διὰ δὲ τοῦτο χρὴ τὴν μὲν δημοκρατίαν φρουρῆσαι, ὑπὸ δὲ τοῦ φόβου οὐδὲν πρᾶξαι.*

*ὡς δὴ ἀεί, ἡ* Βορεαία Κωρέα *κατὰ τῶν* ΗΑΠ *ὡς πλεῖστον δῆμον ἐποτρύνει· ὅμως δὲ μὴ ἐπιλαθώμεθα τὴν μὲν* Βορεαίαν Κωρέαν *δικτατωρείαν οὖσαν, τὰς δὲ* ΗΑΠ *δημοκρατίαν.*

**Brad Pitt to play the role of Achilles in Petersen's new film**
(09-01-03)

Βρὰδ Πὶττ *'Αχιλλεὺς γενήσεται ἐν τῷ τοῦ* Πέτηρσεν *νέῳ κινηματογραφικῷ ἔργῳ*

Ὁ *Γερμανικὸς σκηνοθέτης* Πέτηρσεν *τοῦ* 'Απριλίου *μηνὸς κινηματογραφικὸν περὶ τοῦ ἐν τῇ* Τροίᾳ *πολέμου ἔργον ποιήσει· ὁ οὖν* Πέτηρσεν *τῇ τοῦ* Ὁμήρου Ἰλιάδι *χρήσεται, ὁ δὲ ὑποκριτὴς* Βρὰδ Πὶττ *τὸν* 'Αχιλλέα *ὑποκρινεῖται· τὸ μὲν ἔργον τρεῖς ὥρας χρονίσεται, ἡ δὲ αὐτοῦ ἐπίκλησις κατὰ τὸ εἰκὸν "ὁ περὶ* Τροίαν *πόλεμος" ἔσται.*

*τὸ δὲ ἔργον ἐν τῇ τε* Εὐρώπῃ *καὶ τῇ* Βορεαίᾳ 'Αφρίκῃ *πραχθήσεται, μάλιστα δὴ ἐν τῷ* Μαρόκῳ· *κεῖται δὲ ἐρώτημα· ἆρα βέλτιστός ἐστι ὁ* Βρὰδ Πὶττ *ἵνα τὸν* 'Αχιλλέα *ὑποκρίνηται; ὁ μὲν* 'Αχιλλεὺς *καλὸς κἀγαθὸς ἦν, ὁ δὲ* Β. Πὶττ *καλός ἐστιν (κατὰ τὰς γυναῖκας), ἀλλὰ ἀγαθὸν ἐν τῇ μάχῃ εἶναι ἄλλο τι σημαίνει. ἐν γὰρ τῇ* Ἰλιάδι *ὁ πόδας ὠκὺς* 'Αχιλλεὺς *τοὺς πολεμίους μεγαλῇ βοῇ ἐπιστρέφει, ὅστις δὲ τὸν* Β. Πὶττ *τοῦτο ποιοῦντα ὑπολαμβάνῃ, οὗτος μεγάλου φαντασίας ἄθλου ἄξιός ἐστιν.*

*ἄριστος μὲν ὑποκρίτης οὗτος ὁ ἀνήρ ἐστιν, κατὰ δὲ τὸ αὐτοῦ γλαφυρὸν εἶδος ἄμεινον ὑποκρίνοιτο ἂν τὸν* Πάριν, *ὁ γὰρ* Β. Πὶττ *οὐχ οὕτως ἰσχυρὸς τυγχάνει ὢν ὥστε τῷ* 'Αχιλλεῖ *ὁμοιοῦσθαι· τούτου τοῦ ὑποκριτοῦ δίου* 'Αχιλλέως *γιγνομένου, τίς ὑποκριτὴς* Ἕκτωρ, *καρτερός τε καὶ φιλόμαχος ὤν, γενήσεται; ὁ* Λεωνάρδο δῖ Κάπριο; *τοῦτο δὴ γελοῖον ἂν εἴη.*

*ἀξιόλογον μὲν εἴη ἂν ἀντίγραφον τούτου τοῦ ἔργου ἀττικιστὶ λεχθῆναι, οἶδα δὲ ταύτην τὴν ἐπίνοιαν δυσχερεστάτην οὖσαν, ἀλλὰ δυνατὸν εἴη ἂν τοῖς τοῦ* Ἰλιάδος *λόγοις χρῆσθαι· ἐν τοι τῇ* 'Αγγλίᾳ *αἱ τοῦ τε* Σοφοκλέους *καὶ τοῦ* Αἰσχύλου *τραγῳδίαι τῇ ἀρχαίῃ γλώττῃ δείκνυνται, τὸ δὲ τελευταῖον ἐκβὰν κάλλιστον δή ἐστιν.*

**North Corea breaks the nuclear pact**
(11-01-03)

Ἡ Βορεαία Κωρέα *τὰς ἀτομικὰς σπονδὰς λύει*

Ἡ Βορεαία Κωρέα *ἤγγειλε χθὲς ὅτι αἱ* Ἡνωμέναι 'Αμερικῆς Πολιτεῖαι (ΗΑΠ) *τὸ τῆς* Β. Κωρέας *πολίτευμα διαφθείρειν ἐπιβούλοιντο καὶ διὰ τοῦτο αὐτοὶ ἐξοπλίσασθαι δέοιντο. ὁ δὲ τῆς* Β. Κωρέας *ἐν τῷ* Ἡνωμένων Ἐθνῶν 'Οργανισμῷ (ΗΕΟ) *πρεσβευτὴς εἶπε καὶ ὅτι ἐὰν αἱ* ΗΑΠ *οἰκονομικὰς ζημίας ἐπὶ αὐτοὺς ἐπιτιθῶσιν, αὗται αἱ ζημίαι ὡς πολέμου κήρυγμα ὀφθήσονται.*

*ὁ οὖν πρεσβευτὴς διαβεβαιοῦται ὡς ἀτομικὰ μὲν ὅπλα νῦν οὐκ ἀπεργάσονται, αὐτὰ δὲ ἡ* Β. Κωρέα *ἐν τῷ ἔπειτα ἀπεργάσεται ἐὰν αἱ* ΗΑΠ *ἀναγκάζωσιν. ἀλλὰ τί σημαίνει "ἀναγκάζωσιν"; τόδε σημαίνει· ἡ τῆς* Κωρέας *δικτατωρεία φοβεῖται μὴ ἐν τῷ τοῦ* Βελγράδου *τρόπῳ ἀπὸ τῆς ἀρχῆς ἀποπέσῃ, τῆς δημοκρατίας τῶν* ΗΑΠ *χάριν προερχομένης, καὶ εἰ μόνον οἱ ἐν τέλει τοῦτο γενέσθαι δυνάμενον ὁρῶσι τότε ἀτομικὰ ὅπλα ἀπεργάσονται καί, εὖ οἶδα ὅτι, αὐτοῖς χρήσονται· δικτατωρείας πεσεῖν μελλούσης, πάντα δυνατά ἐστιν.*

*ἡ μὲν* Βορεαία Κωρέα *ἰδίας σπονδὰς ταῖς* ΗΑΠ *σπείσασθαι ἐθέλει ἵνα ἀλλήλοις μὴ προσβάλλωνται*

*(καὶ αὐτὴ ἡ Β. Κωρέα τὴν δικτατωρείαν κατέχῃ), λέγει δὲ ὡς αἱ ΗΑΠ τοῦτο οὐ βούλονται. καὶ δὴ καὶ ὁ τῶν ΗΑΠ πρόεδρος Γ. Βοῦιξ τῷ τῆς Κίνης προέδρῳ χθὲς διελέχθη, ἄμφω γὰρ χαλεπῶς φέρουσι τὴν Β. Κωρέαν τὰς σπονδὰς λελυκέναι· οὗτος δὲ ὁ διάλογος, ὡς ἐμοὶ δοκεῖν, τὴν Β. Κωρέαν ἐτάραξεν· οἱ τοι δικτάτωρες οἱ ἐν τέλει οὐ λανθάνουσι τὴν ἀρχὴν κατέχειν βουλόμενοι.*

**UN declares Beethoven's 9th Symphony Mankind Patrimony**
(12-01-03)

<u>*Ἡ Ἐνάτη τοῦ Βεετώβην Συμφωνία Κτῆμα τῶν Ἀνθρώπων ὑπὸ τοῦ ΗΕΟ ὀνομάζεται.*</u>
*Ἡ ἐν πάσῃ τῇ οἰκουμένῃ εὐδόκιμος Ἐνάτη τοῦ Γερμανικοῦ μουσουργοῦ Λοῦδβιγ βὰν Βεετώβην Συμφωνία τήμερον ἐκ δημοσίου Κτῆμα τῶν Ἀνθρώπων ὑπὸ τοῦ Ἡνωμένων Ἐθνῶν Ὀργανισμοῦ (ΗΕΟ) ὀνομασθήσεται.*

*ὅμως δὲ τὸ πρῶτον ταύτης τῆς συμφωνίας χειρόγραφον οὐκ ἀθροῦν ἐστιν, ἡ δὲ αὐτοῦ ἱστωρία πολύπλοκός ἐστιν· ἡ γὰρ συμφωνία ἐν τῇ Βιέννῃ τὸ πρῶτον δημοσίᾳ ἐξειργάσθη, ἔπειτα δὲ τὸ χειρόγραφον ἐν τῷ Βερλὶν πολλὰ ἔτη ἔκειτο· ὅτε δὲ ὁ Δεύτερος Παγκόσμιος Πόλεμος τελευτᾶν ἔμελλεν ἐκ τοῦ Βερλὶν ἐξηνέχθη, ἵνα ταῖς βόμβαις μὴ βλαφθείῃ, ἐν δὲ τῇ Πολωνίᾳ ἔνια ἔτη ἔκειτο· τέλος δὲ εἰς τὸ Βερλὶν ἐπανῆλθεν, ἀλλὰ αὕτη ἡ πόλις τότε δίχα ἐτμήθη· ἕτερον μὲν τοῦ χειρογράφου μέρος ἐν τῇ Ἀμερικάνῃ πόλει ἦν, ἕτερον δὲ μέρος ἐν τῇ Ῥωσικῇ· μετὰ δὲ τὴν Γερμανικὴν σύναψιν, τοῦ τείχου καταπεσόντος, τὰ δύο τοῦ χειρογράφου μέρη πάλιν ἠθροίσθη, ὅμως δὲ ἅπαν τὸ χειρόγραφον οὔ, διότι μικρὸν μέρος νῦν ἐν τῷ Παρίσι ἔχουσιν.*

*αὕτη τοι ἡ συμφωνία πολλοῦ ἄξιά ἐστι διότι πᾶσιν ὑψηλῶν ἰδεῶν παράδειγμα δίδωσιν, ἐν δὲ τοῖς μάλιστα ἡ τῇ εὐδαιμονίᾳ ᾠδὴ μεγίστη φαίνεται· αὗται δὴ αἱ ἰδέαι τήμερον κινδυνεύουσιν.*

**Rugby European Cup: USAP wins Munster**
(12-01-03b)

<u>*Ῥοῦγβυ Εὐρωπαῖον Κύπελλον· ἡ ΥΣΑΠ τὸ Μύνστερ νικᾷ*</u>
*Χθὲς περὶ δείλην ἐν Περπιγνὰν (ἐν τῇ Γαλλίᾳ) ἡ τε ἐντόπιος ὁμὰς ΥΣΑΠ τὴν τῆς Ἰρλανδίας ὁμάδα Μύνστερ ἐνίκησε, τὸ δὲ τοῦ ἀγῶνος ἀποτέλεσμα κ'γ'-η' ἦν. τοῦ μὴν πρώτου ἡμίσεως ἡ ΥΣΑΠ ὀλίγον μὲν ἐκράτει, μάλα δὲ οὔ· τοῦ δὲ δευτέρου μᾶλλον ἐκράτησε καὶ ἐν τῷ ἐσχάτῳ λεπτῷ ἄλλην κατεπαφὴν ἐκτήσατο· αὖθις οἱ Καταλανικοὶ στρατιῶται ὁπλιτικὴν φάλαγγα κατέτευξαν. ὁ δὲ βραβεὺς ἐνίοτε μὲν ἡμάρτησεν, ἀπὸ δὲ τοῦ ἴσου ἔπραξεν.*

*τῇ οὖν ἐχομένῃ ἑβδομάδι ἀγωνίσει ἡ ἐμὴ φιλτάτη ὁμὰς ἐν τῇ Ἰταλίᾳ, δεῖ δὲ ἐκεῖ νικᾶν ἵνα ἐκ τοῦ Εὐρωπαίου ἀγῶνος μὴ ἐξίῃ· ἔπειτα δὲ περὶ τοῦ Γαλλικοῦ πρωταθλήματος ἀγωνίσει ἡ ΥΣΑΠ ἐν τῷ Βεζιέρς, πόλει πλησίον τῷ Περπιγνὰν κειμένῃ· σχολῆς δὴ οὔσης, εἶμι· μεγάλην γὰρ φιλονικίαν ἔχομεν τοῖς τοῦ Βεζιέρς.*

*εἰ γὰρ οἱ θεοὶ τῇ ΥΣΑΠ ὠφελήσειαν.*

**Two demonstrations for and against war in USA**
(20-01-03)

<u>*δύο ἀποδείξεις ὑπέρ τε τοῦ πολέμου καὶ ἐπὶ τὸν πόλεμον ἐν ταῖς ΗΑΠ*</u>

*Οἱ τῶν ΗΑΠ φιλειρηνικοὶ οὐ βούλονται ταύτην τὴν χώραν τῷ Ἰρὰκ προσβαλεῖν, ἐν γὰρ τῷ τε Οὐασίγκτῳ καὶ τῷ Σὰν Φρανθίσκῳ καὶ ἄλλαις πόλεσιν ἐπὶ τὴν τοῦ προέδρου Βοῦιξ πολιτικὴν ἐσχετλίασαν· καίπερ ψυχοῦς ὄντος δεινοῦ, οἱ ἀποδεικνύμενοι οἴκοι οὐκ ἔμειναν· ἄλλοι μὲν ἀποδεικνύμενοι δαπάνην ταῖς ἐργασίαις, μὴ τοῖς ὅπλοις, ᾔτησαν· ἄλλοι δὲ εἶπον τὸν πόλεμον διὰ οἰκονομικὰ κέρδη γενήσεσθαι μέλλειν.*

*Πρὸς δὲ τῷ Βιετνὰμ Μνημείῳ ἄλλοι ἀποδεικνύμενοι τὸ ἐναντίον ἐβούλοντο, λέγοντες τὸν Σαδδὰμ Οὐσσεὶν τὰ τοῦ δήμου χρήματα πολλοῖς τε βασιλείοις καὶ πολλοῖς ἑαυτοῦ ἀγάλμασι δαπανῷη. φυγὰς δέ τις ἐκ τοῦ Ἰράκ, Ἀθὶθ Ἄλ Τάεε, τὰς ΗΑΠ ᾔτησε τὸ Ἰρὰκ ἤδη μὲν λ'δ' ἔτη ὑπὸ δικτατώρων ἀρχόμενον, μετὰ δὲ τρία ἑκατομμύρια τεθνηκότων καὶ τέτταρα ἑκατομμύρια φυγάδων, ἐλευθερῶσαι.*

**Lumen Press to publish S. Fitzgerald's and Zelda's private letters**
(20-01-03b)

*<u>Ὁ Λοῦμεν Ἐκδοτικὸς τὰς τοῦ Σ. Φιτζγέραλδ καὶ τῆς Θέλδα ἰδίας ἐπιστολὰς ἐκδώσει</u>*

*Ὁ Σκῶττ Φιτζγέραλδ καὶ ἡ αὐτοῦ ἄκοιτις Θέλδα πολλὰς ἐπιστολὰς ἀλλήλοις ἔπεμψαν, αὗται δὲ αἱ ἐπιστολαὶ ὡς ἐπὶ πολὺ ὑπὸ τῶν μανθανόντων οὐκ ἐξετάζονται. τοῦτο τοι τὸ ζεῦγος μέγας τῆς εἴκοσι ἑκατονταετίας λογοτεχνικὸς μῦθος ἐγένετο, συνίσταται δὲ "τοῖς ὀλβίοις εἴκοσι ἔτεσι"· ἔπειτα δὲ ὁ μὲν Σ. Φιτζγέραλδ εἰς τὴν οἰνοπνευματίασιν ἔπεσεν, ἡ δὲ Θέλδα εἰς τὴν σχιζοφρενίαν· ἐν δὴ τούτῳ τῷ χρόνῳ ἡ μὲν οἰνοπνευματίασις αἰσχύνη ἐδόκει, νόσος δὲ οὔ· φάρμακα δὲ ἐπὶ τὴν σχιζοφρενίαν οὐκ ἦν.*

*ἐν δὲ τῇ βίβλῳ καὶ ἡ περὶ τῆς οἰκονομικῆς αὐτῶν ἀπορίας ὑπόθεσις ἀπεργάζεται, λέγεται γὰρ ὅτι, εἰ χρήματα ἔχοιεν, πάντα ἐδαπάνων.*

**Earthquake in Mexico: 23 people die**
(22-01-03)

*<u>Μέγας ἐν τῷ Μεξικῷ σεισμὸς· εἴκοσι καὶ τρεῖς ἄνθρωποι ἀπέθανον</u>*

*Χθὲς ἐν τῷ Μεξικῷ, παρὰ τῇ τοῦ Εἰρηνικοῦ Ὠκεανοῦ ἀκτῇ, μέγας σεισμὸς ἐγένετο· ὁ δὲ σεισμὸς ὀκτὼ τοῦ Ῥίξτηρ βαθμοῦ ἐν τῷ ἐπικέντρῳ μόνον οὐκ ἔτυχεν. οὕτως γὰρ μεγασθενὴς ἦν ὥστε ἐν τῇ πρωτευούσῃ Μεξικῷ, πεντακόσια χιλιόμετρα ἐκεῖθεν ἀπεχούσῃ, δυνατὸν ἦν τοῦ τέλους αἰσθάνεσθαι.*

*εἰ δὴ τὸ ἐπικέντρον οὐ παρὰ τῇ ἀκτῇ ἀλλὰ ἐν τῇ πρωτευούσῃ ἐγένετο, πλεῖστοι ἄνθρωποι ἀπέθανον ἄν, ἐν γὰρ τῇ πόλει Μεξικῷ εἴκοσι ἑκατομμύρια ἄνθρωποι οἰκοῦσιν· τῇ δὴ τοῦ Σεπτεμβρίου μηνὸς ἐννεακαιδεκάτῃ ἡμέρᾳ τῷ χιλιοστῷ ἐνακοσιοστῷ ὀγδοηκοστῷ πέμπτῳ ἔτει μεγασθενέστερος ἐν τῇ πρωτευούσῃ σεισμὸς ἐγένετο, μύριοι γὰρ ἄνθρωποι τότε ἀπέθανον ἐκείνου τοῦ σεισμοῦ ἕνεκα, χθὲς δὲ πολλοὶ τοῦτο ἐμνημόνευσαν.*

**France and Germany regret the "Old Europe" treatment**
(24-01-03)

*<u>Ἡ τε Γαλλία καὶ ἡ Γερμανία ἀγανακτοῦσι τὸ "παλαιὰ Εὐρώπη" ὄνομα</u>*

*Αἱ ΗΑΠ τήν τε Γερμανίαν καὶ τὴν Γαλλίαν τὴν "παλαιὰν Εὐρώπην" εἶναι ᾐτιάσαντο, ὡς τῷ ἐπὶ τὸ*

*Ἰρὰκ πολέμῳ μετεῖναι οὐ βουλομένας, αἱ δὲ ἐκείνων τῶν χωρῶν ἀρχαὶ εὐθὺς τούτοις τοῖς λόγοις ἠγανάκτησαν.*

*τούτων γὰρ τῶν νῦν ἡμερῶν ἥ τε Γαλλία καὶ ἡ Γερμανία σύνοδον ποιοῦσιν ἵνα τὰ τετταράκοντα ἔτη τοῦ Παρὶς-Βερλὶν ἄξονος μετὰ τὸν Δεύτερον Παγκόσμιον Πόλεμον ἑορτάζωσιν, ἐν δὲ ταύτῃ τῇ συνόδῳ ὡμολόγησαν ὅτι πλείονα χρόνον τοῖς κατασκόποις παρέχειν δέοι.*

*ταῦτα μὲν τὰ ἔπη καὶ τοὺς τῆς "παλαιᾶς Εὐρώπης" φιλαμερικανοὺς ἔβλαψαν, ἄλλοι δὲ λέγουσιν ὅτι πλείονα χρόνον παρέχειν ἐπικίνδυνόν ἐστιν.*

**XXXVII Super Bowl to be played on Sunday in San Diego**
(24-01-03b)

*<u>Ὁ Ὑπερκρατὴρ λ'ζ' τῇ Κυριακῇ ἐν Σὰν Διέγῳ ἀγωνισθήσεται</u>*
*Οἵ τε τοῦ Τάμπα Κόλπου Λῃσταὶ καὶ οἱ τοῦ Ὀάκλανδ Εἰσβάλλοντες ἐπὶ τῷ Ὑπερκρατῆρι, τῷ Βὶνς Λομβάρδι τροπαίῳ, ἐν τῇ Καλιφορνίᾳ ἀγωνίσονται, ἀλλὰ οὐ πολλαὶ κατεπαφαὶ ποιηθήσονται, διότι οἱ δύο ὁμάδες ἀμύνονται μᾶλλον ἢ προσβάλλουσιν· νικήσει οὖν ὅστις ἂν τὴν ᾠώδην σφαῖραν πλείονα χρόνον κατέχῃ.*

*ἐνθάδε δὲ ἐν τῇ Εὐρώπῃ δεῖ μέχρι τῶν τεττάρτων τῆς ἕω ὡρῶν ἄγρυπνον μένειν, ἐάν τις πάντα τὸν ἀγῶνα θεωρεῖν βούληται· οἵτινες οὖν αὐτὸν θεωρῶσιν ἄν, πῶς τῇ ἐχομένῃ ἡμέρᾳ ἐργάσωνται;*

**Kenya Finance Minister dies in air crash**
(25-01-03)

*<u>Ὁ τῆς οἰκονομίας ὑπουργὸς τῆς Κενύας ἐν ἀεροπορικῇ συμφορᾷ ἀποθνῄσκει</u>*
*Χθὲς ἀεροπορικὴ συμφορὰ ἐν τῇ Κενύᾳ ἐξέβη, τὸ γὰρ ἀεροσκάφος ἄρτι ἀπὸ τοῦ ἀερολιμένος ἀπογειωνάμενον ἐπὶ τὴν γῆν ἔπεσεν· οἱ μὲν δύο κυβερνῆται καὶ ὁ τῆς οἰκονομίας ὑπουργὸς ἀπέθανον, τρεῖς δὲ ἄλλοι ὑπουργοὶ τραύματα ἔπαθον.*

*οὗτοι δὴ οἱ ὑπουργοὶ προσέκειντο τῇ ἀρχῇ, ᾗ τῷ Δεκεμβρίῳ ἐπὶ τῇ ἐκλογῇ ᾑρέθη, ἄλλου τινὸς κόμματος ἐν τῇ ἀρχῇ τριάκοντα καὶ ἐννέα ἔτη μείναντος, διὰ δὲ ταῦτα περὶ ταύτης τῆς ἐκλογῆς πολλῷ πολλὰ ἐλέχθη. αὕτη μὲν ἡ νέα ἀρχὴ λέγεται βελτίων τῆς προτέρης εἶναι, μένειν δὲ χρῆ πρὶν δικάζειν.*

**Super Bowl: Tampa Bay Buccaneers defeat Oakland Raiders**
(29-01-03)

*<u>Περὶ τοῦ Ὑπερκρατῆρος· οἱ τοῦ Τάμπα Κόλπου Λῃσταὶ τοὺς τοῦ Ὀάκλανδ Εἰσβάλλοντας νικῶσιν.</u>*
*Οἱ Λῃσταὶ τὸ Βὶνς Λομβάρδι τροπαῖον τῇ Κυριακῇ ἐν Σὰν Διέγῳ ἐξ ἀπροσδοκήτου ἦραν, τοῦ τελευταίου ἐκβάντος μ'η' - κ'α' ὄντος· ἀπὸ δὲ τῆς τοῦ ἀγῶνος ἀρχῆς οἱ τοῦ Τάμπα οὐκ ἔλαθον τοῦ ἀγῶνος κύριοι ὄντες, οἱ γὰρ ἀμυντήριοι τῶν Λῃστῶν ἀγωνισταὶ πεντάκις τὴν ᾠώδη σφαῖραν διέλαβον, τρὶς δὲ τούτων τῶν συντυχῶν κατεπαφὴν ἐποίησαν. τῇ μὲν τῆς δευτέρης ἡμισείας ἀρχῇ οἱ Εἰσβάλλοντες τρεῖς κατεπαφὰς συνεχῶς ἐποίησαν, τοῦτο δὲ οὐχ ἱκανὸν ἐγένετο, διότι οἱ Λῃσταὶ πάλιν τῆς μάχης διὰ τάχους ἐκράτησαν.*

*ὁ δὲ τοῦ Ὀάκλανδ στρατηγὸς Ῥὶξ Γάννων οὐκ ηὐτύχησεν, καὶ δὴ καὶ ὁ Δέξτηρ Χιόνσων, ἀμυντήριος*

*δὴ ἀγωνιστής, ἀξιώτατος ἀγωνιστὴς ᾑρέθη. ἐν δὲ τῷ Ὀάκλανδ ταραχή τε καὶ θόρυβος μέγας ἐγένετο, πολλοὶ οὖν ὑπὸ τῶν φυλακῶν συνελήφθησαν.*

**Computer virus blocks servers around the world**
(29-01-03b)

*Ὁ ὑπολογιστικὸς ἰὸς "ΣΚΛ Σλάμμηρ" τοὺς ὑποτακτικοὺς ὑπολογιστὰς ἐν πάσῃ τῇ οἰκουμένῃ ἀποφράττει*

*ἐκ τοῦ Σαββάτου ὑπολογιστικός τις ἰὸς πολλοῖς ὑποτακτικοῖς ὑπολογισταῖς προσέβαλε καὶ τούτους οὐκ εἴασεν εἰωθότως ἐργάζεσθαι, ἐν δὲ τῷ ἰντερδικτύῳ οὐ δυνατὸν ἦν ἐνίας σελίδας (καὶ τὴν ἐμήν, ἥν σὺ νῦν ἀναγιγνώσκεις) ἀνοίγειν· οὗτος γὰρ ὁ ἰός, ἐκ τῆς Νοτίας Κωρέας ἢ ἐκ τοῦ Χὸγκ Κὸγκ ἐλθών, τοὺς μὲν ἰδίους ὑπολογιστὰς οὐ βλάπτει, μόνον δὲ τοὺς ὑποτακτικοὺς ὑπολογιστὰς οἳ τοὺς ἰδίους ὑπολογιστὰς τρέφουσιν.*

*ῥᾳδίον δέ ἐστι τοῦτον τὸν ἰὸν ἀφαιρεῖν, ὅμως δὲ λέγουσιν οἱ ἔμπειροι ὅτι ὁ μὲν ἰὸς ἔτι δύο ἡμέρας ὄχλον παρέχειν δύναται, ὀλίγον δέ.*

**Ariel Sharon trying to form a unity government**
(31-01-03)

*Ὁ Ἀριὴλ Σιαρὼν συναρχεῖν πειρᾶται*

*Καίπερ νικήσας τῇ Τρίτῃ ἐν τῇ ἐκλογῇ, ὁ Ἀριὴλ Σιαρὼν τοῦ Ἰσραὴλ συναρχεῖν ἐπιθυμεῖ, πειρᾶται δὲ αὐτὸς ἵστασθαι μεταξὺ τῆς ἀριστερᾶς, τοῖς Παλαιστινίοις σπονδὴν ποιήσασθαι ἐθελούσης, καὶ τῆς θρήσκης δεξιᾶς, τοῦτο οὐκ ἐθελούσης.*

*ἐν δὲ τῷ Ἰσραήλ, τῶν παλαιστινίων ἤδη δευτέρον ἔτος ἐπανιστάντων, ὁ δῆμος μᾶλλον πρὸς τὴν δεξιὰν κεκίνηται, τὸ γὰρ Λικοῦδ κόμμα νῦν λ'η' βουλευτὰς ἐν τῇ βουλῇ ("Κνέσσητ" ἑβραϊστί) ἔχει.*

*ἐὰν οὖν ἡ ἀριστερὰ τῷ Σιαρὼν συναρχεῖν οὐκ ἐθέλῃ, ὁ Λικοῦδ τῇ θρήσκῃ δεξιᾷ ἴσως συνάρξει· ὁ μὲν Σιαρὼν τοῖς Παλαιστινίοις ὁμελεῖν ἐθέλει ἐφ' ᾧ μόνον αἱ ἐπὶ τοὺς Ἰσραηλίτας προσβολαὶ τέλος λαβεῖν, ὁ δὲ Παλαιστίνιος πρόεδρος Ἀραφὰτ νῦν μᾶλλον τῇ ἀρχῇ τῇ κατὰ δημοκρατίαν αἱρεθείσῃ σπονδὰς ποιήσεσθαι μέλλει.*

**Signs of Crassus' "lost legion" in Gobi desert**
(03-02-03)

*Ἴχνη τοῦ τοῦ Κράσσου ἀφάντου λεγιῶνος ἐν τῇ ἐρήμῳ Γώβι*

*Τῷ ν'γ' πρὸ Χριστοῦ ἔτει ὁ Μάρκος Λικίνιος Κράσσος, τῷ τε Καίσαρι καὶ τῷ Πομπηίῳ τρίανδρος ὤν, εἰς τὴν χώραν ἣν νῦν τό τε Ἰρὰκ καὶ τὸ Ἰρὰν ἔχουσιν ἐπορεύετο μ'β' χιλιάδας στρατιωτῶν ἔχων ὡς ἐπὶ τοὺς Πάρθους μαχούμενος· νικηθέντος δὲ τοῦ Κράσσου καὶ ἀποθανόντος, πλείονες ἢ ι' χιλιάδες ἐζωγρεύθησαν, πολλοὶ μὲν ἐδουλώθησαν, ἄλλοι δὲ πολλοὶ τοῖς Πάρθοις ἐμισθοφόρησαν· οὗτοι δὲ μετὰ ταῦτα πρὸς τὸ Τουρκμηνιστὰν ἐπέμφθησαν ὡς ἐπὶ τοὺς τῶν Σινικῶν προγόνους μαχούμενοι· ἐν μὲν τῷ Τασκὲντ τὴν τελευταίην μάχην ἐμαχήσαντο, αἱ δὲ Σινικαὶ ἐγγραφαὶ ἐν τούτῳ τῷ χρόνῳ γεγραμμέναι λέγουσιν περὶ βαρβάρων τινῶν (κατὰ τοὺς Σινικοὺς λογογράφους) εὐτάκτως τε μαχομένων καὶ τετράγωνα τειχίσματα ἐχόντων· ἀλλὰ αὖθις ἐνικήθησαν καὶ οἱ Σινικοὶ αὐτοὺς πρὸς κώμην τινὰ ἔπεμψαν πολλοῦ ἀπεχοῦσαν, ἐν τῇ ἐρήμῳ Γώβι κειμένην. ταύτῃ οὖν τῇ κώμῃ τὸ*

*ὄνομα Λὶ-Γιὲν ἦν, "λεγιὼν" δὲ τοῦτο τὸ ὄνομα σημαίνει.*

*ὁ μὲν 'Αμερικανὸς ζητητὴς 'Ασενπφλοῦγ ηὗρε τοὺς τοῦ τε Πλουτάρχου καὶ τοῦ Πολυβίου μηνύματα ταῖς τῆς "Αν Δυναστείας συγγραφαῖς ἀκριβῶς συναρμόττοντα, αἱ δὲ τοῦ ΑΔΝ ἀναλύσεις διαβεβαιοῦνται ὅτι τὸ δ'ζ' ποσὸν κατὰ ἑκατὸν τῶν ἐν τῷ Λὶ-Γιὲν νῦν οἰκούντων Εὐρωπαϊκὰς ῥίζας δείκνυσι.*

**Colin Powell puts forward the evidences against Irak**
(06-02-03)

*<u>Ὁ Κώλιν Πώουελ τὰ ἐπὶ τὸ Ἰρὰκ τεκμήρια ἀποδείκνυσι</u>*
*Χθὲς ὁ Κώλιν Πώουελ τὰ ἐπὶ τὸ Ἰρὰκ τεκμήρια ἀπέδειξεν· τῶν δὲ τεκμηρίων ἄλλα μὲν ἀκουστὰ ἦν, ἄλλα δὲ ὀπτικά. τοιγάρτοι ἡ ἐν τῷ Οὐασίγκτῳ ἀρχὴ βούλεται τὸ Ἰρὰκ χημικὰ ὅπλα ἀποκρύπτον καὶ τῷ "Αλ Καϊδα συγγενὲς ὂν δεῖξαι. μετὰ δὲ τῆς τῶν τεκμηρίων ἀποδείξεως αἱ πρόσθεν ἐπίνοιαι οὐ διάφοροι ἐγένοντο, οὐδεὶς γὰρ τὴν γνώμην μετήμειψεν, οἱ μὲν γὰρ ἐπὶ τὸν πόλεμον ἱστάμενοι ἔτι καὶ νῦν ἵστανται, οἱ δὲ ὑπὲρ τῆς προσβολῆς ἔτι καὶ νῦν τὸ αὐτὸ δόξασμα ἔχουσιν· ὅμως δὲ ὁ Κώλιν Πώουελ διαβεβαιοῦται τὸ Ἰρὰκ τοὺς κατασκόπους ἐξαπατᾶν, αὐτὸς δὲ οἴεται τὸ Ἰρὰκ τὰ ὅπλα μετακινεῖν ἵνα μὴ εὑρεθῇ.*

*καὶ δὴ καὶ τὸ 'Αγγλικὸν στράτευμα ἤδη παρασκευάζεται ὅπως τὸ 'Ιρὰκ πολὺν χρόνον καταλάβῃ, ὁ δὲ Τόνυ Βλαῖρ ὁμολογεῖται τὸ ἑαυτοῦ πολιτικὸν μέλλον κατάστημα ἐκ τοῦ ἀπὸ τῆς ἁμίλλης ἀποβάντος καταστήματος ἐξαρτᾶσθαι.*

**Unrest goes on in the state of Gujarat, in India**
(09-01-03)

*<u>Ἡ ταραχὴ διαμένει ἐν τῇ τῆς 'Ινδίας Γουχαρὰτ χώρᾳ</u>*
*Σχεδὸν ἑνακόσιοι ἄνθρωποι ἐν τῇ τῆς 'Ινδίας Γουχαρὰτ χώρᾳ ἀπὸ τῆς τούτου τοῦ ἔτους ἀρχῆς ἀπέθανον, τῶν πολιτικῶν ταραχῶν διαμενουσῶν, μυρίοι δὲ φυγάδες ἐκ τῶν οἰκιῶν διὰ τὸν κίνδυνον βιαίως ἀπῆλθον· τὸ μὲν γὰρ 'Εθνικιστικὸν 'Ινδικὸν Κόμμα ἐν τῇ ὑστάτῃ ἐκλογῇ ἐνίκησεν, ἡ δὲ παρὰ τοῖς τε 'Ινδικοῖς καὶ τοῖς Μουσουλμανικοῖς διάτασις ηὐξήθη.*

*ἐν τοι ταύτῃ τῇ χώρᾳ ἐγένετο ὁ Μαχάτμα Γάνδι, ὁ τῆς εἰρήνης ἄγγελος, νῦν δὲ οὗτος ὁ τόπος ἐπικινδυνωτάτη ἐν τῇ 'Ινδίᾳ χώρα ἐστίν, ἀλλὰ μεγάλη διαφορὰ κεῖται· ὅτε μὲν ὁ Γάνδι ταῖς ἑαυτοῦ νοήμασιν ἐχρήσατο ἵνα τὴν ἅμιλλαν παύσειεν, οἱ πολεμίοι ἀλλόφυλοι ἦσαν, νῦν δὲ ἡ ἅμιλλα οἰκεία ἐστίν, οἱ δὲ μαχόμενοι συγγενεῖς εἰσιν. ὅ τι ὁ Γάνδι ἐλέγετο ἢ ἐποίει ἄν, εἰ πάλιν ἐνθάδε ἦν, τίς τοῦτο ἀλεθῶς εἰδέναι ἔχει;*

**Two million pilgrims on Arafat mountain (Saudi Arabia)**
(11-02-03)

*<u>Δύο ἑκατομμύρια προσκυνητῶν ἐπὶ τῷ 'Αραφὰτ ὄρει (ἐν τῇ Σαουδὶ 'Αραβίᾳ)</u>*
*Δύο ἑκατομμύρια Μουσουλμανικῶν προσκυνητῶν χθὲς ἐπὶ τῷ 'Αραφὰτ ὄρει ἠθροίσθησαν ὡς ἱερουργικὴν τελετὴν διαπράξοντες, αὐτοῖς γὰρ αὕτη ἡ τελετὴ σεμνοτάτη ἐστίν.*

*ἡ πρὸς τὸ 'Αραφὰτ ὄρος πορεία σταθμός ἐστι καθαρτικῆς μεθόδου ἐν τῇ ἁγίᾳ πόλει Μέκκα*

*ἀρχομένης, ἐν γὰρ ταύτῃ τῇ πόλει ὁ προφήτης Μωάμεθ ἐγένετο· ἔπειτα δὲ οἱ πιστεύοντες πρὸς τὸ Ἀραφὰτ ὄρος ἔρχονται, εἴκοσι χιλιόμετρα τῆς πόλεως ἀπέχον· ἐπὶ δὴ τούτῳ τῷ ὄρει ὁ Μωάμεθ τῷ Μαρτίῳ τοῦ χλβ' ἔτους τὴν τελευτὴν παρακέλευσιν ἐπέδωκεν ὀλίγον πρὸ τοῦ ἀποθανεῖν, οἱ δὲ Μουσουλμανικοὶ διαβεβαιοῦνται ταύτης τῆς παρακελεύσεως λεγομένης τὸ ἔσχατον μέρος τὸ τοῦ Κωρᾶν, τῆς ἱερῆς βίβλου, τῷ Μωάμεθ ἀποκαλυφθῆναι.*

*πολλοὶ δὲ φύλακες ἐκεῖ παρῆσαν ἵνα ταραχήν τινα κωλύσαιεν, τῆς ἐπὶ τὸ Ἰρὰκ προσβολῆς ἴσως πλησίης οὔσης καὶ τοῦ ἐν τῷ Ἰσραὴλ ἐπὶ τοῖς Παλαιστινίοις καταστήματος ἀνησύχου ὄντος. τοῦτό τοι ἐν τῷ ἀθροίσματι ταραχῆς αἴτιον εἶναι δύναται.*

**Paris and Berlin generate antieuropean feelings in USA**
(15-02-03)

<u>*Τό τε Παρίσιον καὶ τὸ Βερλὶν ἀντιευρωπαϊκὰς κακονοίας ἐν ταῖς ΗΑΠ ἀπεργάζονται*</u>
*Κατὰ τοὺς τοῦ Κώλιν Πώουελ λόγους, αἱ Ἡνωμέναι Ἀμερικῆς Πολιτεῖαι (ΗΑΠ) μόναι τῷ Ἰρὰκ προσβάλλειν ἐθέλουσιν καίπερ τῆς τε Γερμανίας καὶ τῆς Γαλλίας ἐπὶ τὸν πόλεμον ἱσταμένων· λέγει δὲ ὁ Κ. Π. καὶ ὅτι αὗται αἱ δύο χῶραι τῷ Σαδδὰμ Οὐσσεῖν ἀέκουσαι βοηθοῦσιν. ἡ οὖν τῆς τε Γερμανίας καὶ τῆς Γαλλίας στάσις ἀντιευρωπαϊκὰς κακονοίας ἐν τῇ τῶν ΗΑΠ βουλῇ ἀπείργασται, μάλιστα δὴ περὶ τοῦ Παρισίου. ἔνιοι γὰρ Ἀμερικανοὶ πολιτικοὶ ἀναμέμνηνται ὅτι, εἰ αἱ ΗΑΠ μὴ πρόσθεν ἐμαχέσαντο, αὗται αἱ δύο χῶραι νῦν σοβιετικαὶ δημοκρατίαι ἂν ἦσαν, καὶ δὴ καὶ ἔνιαι Ἀγγλικαὶ τε καὶ Ἀμερικαναὶ ἐφημερίδες τῇ Γαλλικῇ στάσει μέμφονται ἀναμιμνησκόμεναι ὁπόσοι τῶν ΗΑΠ στρατιῶται ἐν τῇ Γαλλίᾳ ἀπέθανον ἵνα τὴν Γαλλίαν ἐλευθερώσαιεν.*

*ἐν δὲ τῇ τῶν Ἡνωμένων Ἐθνῶν Ὀργανισμοῦ (ΗΕΟ) ἕδρᾳ ἡ Κωνδολεέζα Ῥαῖς τῷ Ἄνς Βλὶξ συνεβούλευσε τὸν τῶν ἐπιστατῶν λόγον δείξειν τὸν Σαδδὰμ Οὐσσεῖν τὰ χημικὰ ὅπλα οὐκ ἀπολέσαντα.*

**Japan ready for North Korea attack**
(16-02-03)

<u>*Ἡ Ἰαπωνία προσβολῇ τινι ἐκ τῆς Βορεαίας Κωρέας ἡτοίμασται*</u>
*Ὁ τῆς ἀμύνης Ἰαπωνικὸς ὑπουργὸς Σιγέρου Ἰσίβα ἐξήγγειλε τὴν Ἰαπωνίαν τῇ Βορεαίᾳ Κωρέᾳ προτέραν ἂν προσβάλλειν, εἰ αὕτη ἡ χώρα πύραυλους ἐπὶ τὴν Ἰαπωνίαν παρασκευάζοι, καὶ δὴ πρὶν τὴν Βορεαίαν Κωρέαν αὐτοὺς ἐκβαλεῖν.*

*ἡ γὰρ ἀπορία τῇ Ἰαπωνίᾳ κεῖται ἐν ᾧ αὗται αἱ δύο χῶραι οὕτως πλησίον τυγχάνουσιν οὖσαι ὥστε, ἐὰν ἡ Β. Κωρέα πύραυλόν τινα ἐκβαλῇ, ἡ Ἰαπωνία οὐχ οἵη τε ἔσται ἀντιπροσβαλεῖν· ἡ οὖν πυραύλου τινὸς ἑτοιμασία προσβολῆς ἀρχὴ νομισθήσεται, αὐτίκα δὴ καύσιμον εἰς τὴν τοῦ πυραύλου δεξαμένην εἰστιθέναι. ἡ δὲ Β. Κωρέα λέγει ὅτι αἱ τῶν Ἡνωμένων Ἀμερικῆς Πολιτειῶν (ΗΑΠ) οἰκονομικαὶ ζημίαι καὶ πολέμου κήρυγμα νομισθήσονται.*

**Rugby Six Nations: England beats France**
(17-02-03)

<u>*Ῥοῦγβι Ἓξ Χῶραι· ἡ Ἀγγλία τὴν Γαλλίαν νικᾷ*</u>
*Ἡ Ἀγγλία προχθὲς τῇ Γαλλίᾳ ἐκράτησε καὶ ὧδε τῆς τῷ προτέρῳ ἔτει ἐν τῷ Παρισίῳ ἥττης τιμωρίαν*

*ἔλαβεν. οἱ δὴ τοῦ ῥόδου πεντεκαίδεκα τὸν ἀγῶνα τῶν προσβαλλόντων χάριν ἐνίκησαν. ἐν τῷ πρώτῳ ἡμίσει ἡ μὲν Ἀγγλία ἔφθασε τρεῖς βαθμοὺς ποιοῦσα, ὁ δὲ Γάλλος Μάγνη, τὴν ᾠώδην σφαῖραν ἐξαίφνης διαλαβών, κατεπαφὴν κατειργάσατο, ἔπειτα δὲ ὁ Ἄγγλιος Οὐιλκίνσων τῷ ποδὶ τρὶς βαλῶν ἐννέα βαθμῶν ἐπέτυχεν. τῇ οὖν τοῦ πρώτου ἡμίσεως τελευτῇ τῆς ἐντοπίας ὁμάδος νικώσης τὸ ἀποτέλεσμα ιβ' - ζ' ἐγένετο.*

*τοῦ μὲν δευτέρου ἡμίσεως καὶ ἡ Ἀγγλικὴ ἐκλογὴ τῆς μάχης ἐκράτει, οἱ δὲ Γάλλοι μόνον περὶ τῆς τελευτῆς μεταβολὴν μὲν ἐποιήσαντο, ὀψὲ δέ, καίπερ τοῦ Φαβιὰν Γαλτιὴρ τὸ Ἀγγλικὸν πλεονέκτημα μειώσαντος· τὸ δὲ τελευταῖον ἀποτέλεσμα κε' - ιζ' ἦν.*

*ἐν δὲ τῇ Ῥώμῃ ἡ Ἰταλία τὴν Οὐαλίαν ἐξ ἀπροσδοκήτου ἐνίκησεν, ἐν ιδ' ἀγῶσι πρότερον ἐν τούτῳ τῷ προταθλήματι ἡττηθεῖσα.*

**Osama bin Laden's last (?) orders and advices**
(20-02-03)

*Αἱ τελευταῖαι (;) τοῦ Ὡσαμᾶ τοῦ βὲν Λάδεν διαθῆκαι καὶ βουλαί*

*Ἡμᾶς μὲν ἔτι λυπούντων τῶν μὴ πρὸ πολλοῦ, ἀλλ' ὑπόγυον ἐχόντων τὴν μνήμην, τῶν τε τῇ Ἀλκαήδα ἀγέλῃ πεπραγμένων πρὸς τοὺς Ἀμερικάνους τῶν τε τοῖς τρομοκράταις τοῖς μουσουλμάνοις κατὰ πᾶσαν χώραν τετολμημένων, ταῖσδε ἐν δυστυχεστάτοις ἡμέραις θάνατον τῇ οἰκουμένῃ καὶ καθαίρεσιν πάλιν ὁ κακοδαίμων Ὡσαμᾶς ὁ Λαδενίδης ἀπειλεῖ.*

*Φωνητικὸν γὰρ διὰ δυσάγγελμά τι ἐπὶ Βρεττανίαν ἀποσταλὲν τῷ ἰσλαμικῷ δημοσιογραφείῳ Ἀλανσὰρ οὗτος ὁ φλύαρος ἐνθέων, ὡς εἰπεῖν, πληθοσφακτῶν Ἑρμῆς τῷ εὐσεβεῖ τὸν τῶν πιστῶν δῆμον δελεάζων λέγει τοιάδε· "πρὶν ἂν τὸν βίον τελευτᾶν, ὦ μεγαλοθύμονες τῶν μουσουλμάνων καὶ πολύτιμοι, ὑμᾶς ὁμοῦ καὶ ἐμὲ αὐτὸν κελεύω μάχεσθαι σπεύδοντας πάσῃ τέχνῃ καὶ μηχανῇ ἐπὶ τῷ ἐχθρῷ τῷ σταυροφόρῳ [...] ὑμῖν τε γὰρ τοῦτο δόξαν οἴσει καὶ τὰ τῆς κοινῆς θρησκείας πάτρια χάρισιν ἀξίαις οὕτως ἀμείψεσθε, εἰς ἐνιαυτὸν γὰρ τὴν μοῖραν ἐποτρυνόμενος τὴν ἰδίαν τοῖς πολεμίοις ἐπιθήσομαι Χριστιανοῖς τε καὶ Ἰουδαίοις", καὶ λοιπὰ τὴν φρενοβλάβειαν τοσαῦτα. Εὐδαιμονοίητε δ' ὑμεῖς, ὦ καλοὶ τοῦ Ἀλλὰχ στρατιῶται, ἂν τὰ δέοντα πράττοντες ὑπὸ τοιούτῳ τῷ μάρτυρι...*

*Νεωστί, ἡ Ἀραβικὴ στάσις δορυφορικὸς Ἀλγιαζίρα ἄλλο ἕτερον τοῦ αὐτοῦ βὲν Λάδεν τοῦ μιαρωτάτου μήνυμα μεταδέδωκεν, ᾧ διὰ τάδε τὰ σεμνότατα καὶ σοβαρὰ "ἀλσαλὰμ ἀλάικουμ οὐὰ ῥαχμὰτ Ἀλλὰχ οὐὰ βαρακάτω", ἅ ἐστιν Ἑλληνιστὶ μεθερμηνευόμενα " ἡ εἰρήνη μεθ' ὑμῖν καὶ ὁ ἔλεος τοῦ Ἀλλὰχ ἅμα καὶ ἡ εὐλόγησις", ὁ τῶν τρομοκρατῶν ἄρχων ηὐλόγει "τοὺς ἐν Ἰρὰκ ἀδελφοὺς Ἰσλαμίτους" αὐτοὺς παροξύνων ἐπὶ τὸν ἅγιον πόλεμον "τῷ τῶν Ἀμερικάνων Φαραώ, τῷ ἀσεβεστάτῳ Γεωργίῳ Ου. Βούσζ".*

*(Μάξιμος Ἀπολλινάριος Κουρτίων ἐφιστόρηκε)*

**Tragedy in Rhode Island**
(23-02-03)

*Συμφορὰ ἐν τῇ Ῥὼδ Νήσῳ*

*Μουσικῆς ἑορτῆς ἐν καπηλείῳ τυγχανούσης, ἔμπρησις μεγάλη ἐγένετο· ἐνενήκοντα καὶ ἓξ ἄνθρωποι ἀπέθανον. πρῶτον μὲν ἡ κατασχεθεῖσα φλὸξ ἐκ τῆς σκηνῆς πανταχόθεν γίγνεσθαι ἤρχετο ὅτε ἡ*

*μουσικὴ σύστασις ἐξειργάζετο· ἔπειτα δέ, τοῦ πυροτεχνικοῦ θεάματος τέλος ἔχοντος, αἱ φλόγες τὰ περὶ τὴν σκηνὴν τείχη ἔκαυσαν, μετὰ δὲ δευτερόλεπτα ὀλίγα καὶ τὴν στέγην. ὁ ᾠδὸς Ἰὰκ Ῥούσσηλ τούτου οὐκ αἰσθανόμενος ἐν τῷ ᾄδειν διέμενεν.*

*ἰδόντες οὖν τὰς φλογὰς οὐκέτι κατασχεθείσας, οἱ μὲν θεαταὶ ἐπετράποντο καὶ ἐξελθεῖν ἐβούλοντο, ἡ δὲ σύστασις τὴν σκηνὴν ἔλιπεν. ἐν δὲ τῇ θύρᾳ ταραχὴ ἐγένετο διὰ τὸ μέγιστον πλῆθος τὸ τῶν ἐξελθεῖν βουλομένων. μετὰ δὲ λεπτά τινα πᾶσα ἡ ξυλινὴ οἰκία ἐνεπρήσθη, οἱ γὰρ πυροσβέσται τὸ πῦρ κατασβεννῦναι οὐχ οἷοί τε ἦσαν, ἀλλὰ ἐνίους ἀνθρώπους ἔτι ἔνδον μένοντας ἔσωσαν.*

**Bush pushes resolution**
(23-02-03b)

<u>Ὁ Βούιξ ψήφισμα ἐποτρύνει</u>

*Ὁ Βούιξ τῷ Σαββάτῳ εἶπεν ὅτι τῷ Ἡνωμένων Ἐθνῶν Ὀργανισμῷ (ΗΕΟ) ψήφισμα δείξοι διαφανές τε καὶ ἁπλοῦν ὡς τοὺς βουλευτὰς ἐρωτῆσον πότερον τὸν Σαδδὰμ Οὑσσεὶν τὰ ὅπλα ἀφαιρεθῆναι ἢ οὔ. δημοσιογράφου δέ τινος εἰ οὗτος ὁ καιρὸς τῇ τῆς Ἀσφαλείας Βουλῇ τὴν ῥοπὴν αὐτῆς δεικνῦναι ἔσχατος εἴη ἐρωτῶντος, ὁ πρόεδρος ὡμολόγησεν. ὁ δὲ Ἄνς Βλὶξ τῇ τῆς Μαρτίου ἑβδόμῃ ἡμέρᾳ τὸ δευτέρον ἄγγελμα περὶ τῶν τοῦ Σαδδὰμ Οὑσσεὶν ὅπλων παραδώσει, ὁ γὰρ Βλὶξ τὸ Ἰρὰκ ἐκέλευσε τοὺς πυραύλους διαφθείρειν, οἳ τὴν ἐρωὴν παρέρχονται.*

*ὁ δὲ Κώλιν Πούηλ τῇ μὲν Κυριακῇ εἰς τὴν Σίναν εἶσιν ὡς περὶ τοῦ τε Ἰρὰκ καὶ τῆς Βορεαίας Κωρέας λέξων, τῷ δὲ Σαββάτῳ ἐν Τοκίῳ ἦν. αἱ δὴ τοῦ Κώλιν Πούηλ ἀποδείξεις τοῖς τοῦ Βούιξ συντρέχουσιν.*

*πρὶν δὲ εἰς τὸ Κραύφορδ ἰέναι ὡς τῷ Ἰσπανικῷ πρωθυπουργῷ συντευξόμενος, ὁ πρόεδρος Βούιξ τῷ Βιθέντῃ Φοῖξ ἐν τῷ Μεξικῷ διελέγετο. πρὸς τὸ παρὸν αἱ ταῖς Ἡνωμέναις Ἀμερικῆς Πολιτείαις (ΗΑΠ) βοηθοῦσαι χῶραι τρεῖς εἰσιν· ἡ Ἀγγλία καὶ ἡ Ἰσπανία καὶ ἡ Ἰταλία.*

**Platea Victory tripod is still in Estambul**
(26-02-03)

<u>Ὁ τῆς Πλαταίας Νικηφόρος Τρίπους ἔτι καὶ νῦν ἐν τῷ Βυζαντίῳ κεῖται</u>

*Μετὰ τὴν ἐν τῇ Πλαταίᾳ μάχην, οἱ Ἑλληνικοὶ στρατιῶται τὰ τῶν πολεμίων ὅπλα λαβόντες συνεχώνευσαν τε καὶ χαλκοῦν τρίποδα ἐποίησαν· τῷ δὲ Ἀπόλλωνι Δελφικῷ ἀναθέντες τὰ ὀνόματα τὰ τῶν ἐν Πλαταίᾳ μαχεσαμένων πόλεων εἰς αὐτὸν ἐνέγραψαν· αἱ μὴν τοῦ τρίποδος φλόγες ἐπὶ τριῶν ὄφεων ἑλισσομένων τε καὶ στῦλον πλασσουσῶν ἐκαίοντο. μετὰ μὲν ὀκτὼ ἑκατονταετίας ὁ τριποῦς ὑπὸ τοῦ Κωνσταντίνου εἰς τὸ Βυζαντίον ἠνέχθη καὶ εἰς τὸν ἱππόδρομον εἰσετέθη, νῦν δὲ μόνον ὁ στῦλος μένει, ἵσταται δὲ ἐν τῇ τοῦ Σουλτὰν Ἀμτὲτ ἀγορᾷ.*

*ἐκεῖνος τοίνυν ὁ ἅγιος στῦλος, σύμβολον τῆς Εὐρώπης, ὑπαίθριος τε καὶ ἄφρακτος κεῖται· χρὴ οὖν τὴν Ἑλληνικὴν ἀρχὴν τοῦτον τὸν στῦλον ἀπὸ τῶν ἐν τῇ Τουρκίᾳ ἐν τέλει ἀπαιτεῖν. νῦν γὰρ ἡ Τουρκία εἰς τὴν Εὐρωπαίαν Ἕνωσιν (ΕΕ) εἰσβαίνειν βούλεται, διὰ τί οὖν οἱ Εὐπωπαῖοι τῷ καιρῷ οὐ χρῶνται ἵνα τὸν τρίποδα ἀναλαβῶσιν;*

*εἴθε τοῦτο τὸ ἅγιον Εὐρωπαϊκὸν σύμβολον ὡς τάχιστα εἰς τὴν Ἑλλάδα ἐπανέλθοι.*

**Saddam Hussein yields just a little**

(02-03-03)

<u>Ὁ Σαδδὰμ Οὑσσεὶν μόνον σμικρὸν εἴκει</u>

*οἱ ἐπιστάται χθὲς ἐπηλήθευσαν τὸ Ἰρὰκ τοὺς Ἄλ Σαμοῦδ β' πυραύλους διαφθείρειν ἀρχόμενον, τὸ δὲ μόνον ἕνα διέφθειρεν, λέγει δὲ ὅτι χρονολογικὸν σχῆμα περὶ τῆς τῶν λοιπῶν πυραύλων διαφθειρέσεως δείξει. τὸ οὖν λεγόμενον ἔχει τὸ Ἰρὰκ ἑκατὸν καὶ εἴκοσι τοιούτους πυραύλους.*

*τὸ μὲν ἄγγελμα περὶ τῶν πυραύλων διαφθειρομένων ἡδέως ἐδέξαντο αἱ χῶραι αἱ κατὰ τοῦ πολέμου ἀναστάντες, οἱ δὲ ὑπὲρ τοῦ πολέμου ἀναστάντες ὑποπτεύουσι μὴ τοῦτο ἀπάτην ᾖ. ὁ μὲν Ἄρι φλεῖσερ, ὁ τῆς Λευκῆς Οἰκίας φερέφωνος, οὐκ ἐνθυμεῖται τὴν τῶν πυραύλων διαφθείρησιν πιστὴν ἐπίδοσιν οὖσαν, τῶν ΗΑΠ τὸ Ἰρὰκ τὰ ὅπλα παντελῶς ἀφαιρεθῆναι βουλομένων, κατὰ δὲ τὸν τῶν ἐξωτερικῶν Γαλλικὸν ὑπουργὸν Βιλληπὶν αὕτη ἡ πρᾶξις τοὺς ἐπιστάτας ἐπιτηδείως πονοῦντας δείκνυσι.*

*τέως δὲ οἱ ἐπιστάται ἠργμένοι εἰσὶν ἄλλας βιολογικῶν ὅπλων θήκας ἐξετάζειν, οἱ γὰρ Ἰράκιοι διαβεβαιοῦνται ἕκοντες τὰ βιολογικὰ ὅπλα διαφθεῖραι. ἴσως μὲν τὸ Ἰρὰκ μόνον μέρος τῶν ὅπλων διαφθερεῖ ὡς τὴν προσβολὴν κωλύσον, ἴσως δὲ οἱ ἐπιστάται τὸ ἔργον διατελευτήσουσιν.*

**Alexandria Library burns again (as usual)**
(04-03-03)

<u>Ἡ ἐν τῇ Ἀλεξανδρείᾳ βιβλιοθήκη πάλιν πίμπραται (εἰωθότως)</u>

*Ἡ ἐν τῇ Ἀλεξανδρείᾳ βιβλιοθήκη δοκεῖ τῇ τῶν θεῶν βουλῇ ἀεὶ ἐν κακοδαιμονίᾳ εἶναι, ὁ γὰρ Ἥφαιστος ἐκεῖ πολλάκις φοιτᾷ· οὗτος τοι ὁ θεὸς διὰ τῆς ἱστωρίας πιστὸς ἀναγνώστης γέγονεν.*

*ἡ δὲ ἀρχαῖα βιβλιοθήκη, ὑπὸ τοῦ Πτωλεμαίου κτισθεῖσα, ἤδη πάλαι ἐπρήσθη, ἐπεὶ γὰρ αἱ τοῦ Ἰουλίου Καίσαρος λεγιῶνες ἄρτι εἰς τὸν τῆς Ἀλεξανδρείας λιμένα ἐξέβησαν, οἱ Αἰγύπτιοι αὐτοῖς ἠναντιώθησαν· μάχης δὲ γενομένης, τὸ πῦρ δυστυχῶς τῆς βιβλιοθήκης ἔτυχεν. ἔπειτα δὲ ἡ βιβλιοθήκη ὑπὸ τοῦ τε Μάρκου Ἀντονίου καὶ τῆς Κλεοπάτρας εἰς τὸν τοῦ Σέραπις ναὸν μετεστάθη, ἀλλὰ τῆς τετάρτης ἑκατονταετίας, τοῦ βασιλέως Θεοδοσίου πάντας τὰς θρησκείας πλὴν τοῦ Χριστιανισμοῦ ἀπειπόντος, οἱ Χριστιανοὶ πάλιν αὐτὴν ἔπρησαν· οὐ δὲ ἐνθάδε ἡ κακοδαιμονία τελευτᾷ, οἱ γὰρ Μουσουλμάνοι, οὐκ ἐθέλοντες τῶν Χριστιανῶν μειοῦν ἢ μειονεξίαν τινὰ δεικνύναι, καὶ τὴν βιβλιοθήκην (τὸ λιπομένον) ἔπρησαν.*

*νῦν δὲ τῇ Κυριακῇ ὁ μὲν Ἥφαιστος πάλιν ἐν τῇ βιβλιοθήκῃ ἦν, ἀνέγνω δὲ οὔ (ἆρα αὐτῷ μὲν οὐκ ἀρέσκει, ἴσως δὲ ἀναγιγνώσκειν οὐκ ἔχει καίπερ θεὸς ὤν;). ἐλεκτρικὸν γὰρ βραχυκύκλωμα μικρὸν πῦρ ἐποίησεν, ἀλλὰ τὸ πῦρ οὐκ ἐσπάρη· εὐτυχῶς μὲν αἱ βίβλοι οὐκ ἐπρήσθησαν, διότι οἱ τε πυροσβέται καὶ τὰ ἀντιπῦρ συστήματα ταχέως τὸν ἔργον εὖ ἔδρασαν, ὅμως δὲ μ' ἐργάται ἀσθενοῦσι τὸν καπνὸν πνεύσαντες. τῶν δὴ θεῶν νέμεσις;*

*αὕτη τοι ἡ βιβλιοθήκη ὑπ' ὀλίγων τινῶν χωρῶν ᾠκοδομήθη ἵνα τὴν ἀρχαῖαν τιμήσαιεν· τὸ δὴ εἰς τὸ ἀναγιγνώσκειν δῶμα μέγιστον λογίζεται εἶναι τοῦ κόσμου.*

**General Wang Pi Zheng dies in California at the age of 102**
(06-03-03)

<u>Ὁ στρατηγὸς Οὐὰνγ Πὶ Ζὲγγ, ἑκατὸν καὶ δύο ἔτη γεγονώς, ἐν τῇ Καλιφορνίᾳ ἀποθνήσκει</u>

*Ὁ στρατηγὸς Οὐὰνγ Πὶ Ζὲγγ, ὃς Σινικὸς πρεσβευτὴς ἦν ἐν τῇ νηὶ Μισσοῦρι ὅτε ἡ Ἰαπωνία μετὰ τὴν τοῦ Δευτέρου Παγκοσμίου Πολέμου τελευτὴν ἑαυτὴν παρέδωκεν, τῇ κγ' τοῦ Φεβρουαρίου μηνὸς ἡμέρᾳ ἐν τῇ Καλιφορνίᾳ ἀπέθανεν.*

*οὗτος δὴ ὁ στρατηγὸς τὰ ἔσχατα κε' ἔτη ἀνώνυμος τὸν βίοτον ἤγαγεν, ἀλλὰ ἡ τοῦ βίου αὐτοῦ ἱστωρία παρὰ τὴν τῆς εἰκοστῆς ἑκατονταετίας ἱστωρίαν παραβαίνει· τρία γὰρ ἤδη ἔτη διδάσκαλος ἐργασάμενος, ἐστρατεύσατο καὶ οἱ ἐν τέλει αὐτὸν ἔπεμψαν πρὸς ὀλίγα τινὰ ἔκδημα στρατηγικὰ διδασκαλεῖα ἐν τῇ Ἰαπωνίᾳ καὶ ταῖς Ἡνωμέναις Ἀμερικῆς Πολιτείαις (ΗΑΠ) ὄντα· καὶ εἰς τὴν Εὐρώπην ἐφοίτα, ἐν δὲ τῷ Μύνχῃ τοῦ Ἵτληρ ἔτυχε καὶ τοῦ Μουσσολίνι ἐν τῇ Ἰταλίᾳ. ἔπειτα δὲ ἐν τῇ Μοσκβᾷ στρατηγικὸς πρεσβευτὴς ἦν.*

*ἐπεὶ δὲ εἰς τὴν Σίναν ἐπανῆλθεν, ἐπὶ τὴν Ἰαπωνίαν ἐστρατήγησεν· μετὰ δὲ τὸν πόλεμον ἔτι τινὰ ἔτη ἐν τῇ στρατείᾳ παρέμεινεν. τῶν δὴ κομμουνιστῶν ἐν τῷ οἰκείῳ πολέμῳ νικησάντων, εἰς τὴν Ταιουὰν νῆσον ἀπῆλθε καὶ ἐκεῖ πολλὰ ἔτη ἔμεινεν. τέλος δέ, τὴν στρατείαν λιπών, εἰς τὴν Καλιφορνίαν σὺν τῇ συγγενείᾳ ἀπῴκησεν.*

**China will move a million poor people every year**
(09-03-03)

*Ἡ Σίνα ἑκατομμύριον πενήτων κατ' ἐνιαυτὸν μετακινήσει*

*Ἐν τῇ Σίνῃ πολλοὶ ἄνθρωποι ἐν ἐρήμαις χώραις τῶν εὐτυχῶν τόπων ἀποιχομέναις οἰκοῦσιν, ὅπου οὐκ ἔξεστιν ἱκανὸν τοῖς οἰκοῦσιν ἀροτρεύειν, ἡ γὰρ ἐκεῖ γῆ ἄκαρπός ἐστιν· διὰ δὲ τοῦτο βούλεται ἡ Σινικὴ ἀρχὴ κατ' ἐνιαυτὸν ἑκατομμύριον πενήτων εἰς ἄλλους τόπους μᾶλλον ἐπιδεδομένους μετακινῆσαι ἵνα, ὡς ἔπος εἰπεῖν, εἰς τὴν τῆς προχωρούσης οἰκονομίας ναῦν εἰσβαίνωσιν. ἡ δὴ ἀρχὴ ἐκλογίζεται ἑπτὰ ἑκατομμύρια πενήτων ἐν τῇ Σίνῃ νῦν ὄντα.*

**Interpol processes an arrest order against Fujimori**
(09-03-03b)

*Ἡ Ἰντερπὸλ γραφὴν τὸν Φουχιμόρι διώκει*

*Ἡ Περουανὴ ἀρχὴ τὴν κατὰ τοῦ Φουχιμόρι γραφὴν ἐγκωμιάζει, ἡ γὰρ Ἰντερπὸλ βούλεται τὸν πρόσθεν πρόεδρον αἱρεῖν τε καὶ ἐν φυλακῇ ἔχειν, ὅπως αὐτὸν δικάσῃ. κατὰ οὖν τὸν παγκόσμιον φυλακτικὸν ὀργανισμόν, ὁ Φουχιμόρι, πρόεδρος ὤν, πολλὰ τὸν λαὸν ἠδίκησε, μάλιστα δὲ τῇ τε οἰκονομίᾳ κακῶς χρώμενος καὶ πολλὰ χρήματα κλέπτων.*

*νῦν δὲ τοῦ Περοῦ φυγὼν οἰκεῖ ὁ Φουχιμόρι ἐν τῇ Ἰαπωνίᾳ· ἐὰν δὲ ἡ γραφὴ εὐτυχῇ, ὁ φυγὰς εἰς τὴν πρωτεύουσαν Λίμαν ἐξοίσεται, ὅπου δικασθήσεται.*

**North Korea will shoot another missile**
(09-03-03c)

*Ἡ Βορεία Κωρέα ἄλλον πύραυλον βαλεῖ*

*Ἡ τῆς Νοτίας Κωρέας ἀρχὴ εἶπε χθὲς ὅτι ἡ Βορεία Κωρέα ἄλλον πύραυλον πρὸς τὴν τῆς Ἰαπωνίας θάλατταν βαλεῖ, ἡ δὲ τῆς Ν. Κωρέας ἀρχὴ ταῦτα τὰ βλήματα παροξυσμὸν νομίζει, ἤδη γὰρ τῷ Φεβρουαρίῳ πύραυλός τις ἐκ τῆς Β. Κωρέας ἐβλήθη. ὁ δὲ νέος πύραυλος κατὰ τὸ εἰκὸν ἐκ τῆς πόλεως Ἀμκυώγγ βληθήσεται.*

*ἔνιοι μὴν πολιτικοὶ ἀναλυσταὶ λογίζονται τὴν τῆς Β. Κωρέας στάσιν κινδυνωτέραν τῆς τοῦ Ἰρὰκ οὖσαν, οἷα ἤδη ἀτομικὰ ὅπλα ἀπεργάζεσθαι ἐχούσης.*

**Tense wait around Irak**
(12-03-03)

*<u>Σύντονος περὶ τὸ Ἰρὰκ διατριβή</u>*
*Αἱ Ἡνωμέναι Ἀμερικῆς Πολιτεῖαι (ΗΑΠ) ὀλίγον τι συγχωρεῖν ἐθέλουσιν ἵνα ὁ Ἡνωμένων Ἐθνῶν Ὀργανισμὸς (ΗΕΟ) τὸ δεύτερον ψήφισμα ἐπὶ τὸ Ἰρὰκ ἐνδέχηται. ἡ μὲν ψήφισις τῇ Παρασκευῇ γενήσεται, τὸ δὲ τελευταῖον ἐκβὰν οὔπω σαφές ἐστιν. τέως δὲ ὁ Δόναλδ Ῥοῦμσφελδ ἐβεβαίωσε τὰς ΗΑΠ οἵας τ' εἶναι τῷ Ἰρὰκ ἄνευ τῆς Ἀγγλίας πολεμεῖν, πολλοὶ γὰρ τοῦ Πρωθυπουργοῦ Βλαῖρ βουλευταὶ κατὰ τοῦ πολέμου ἑστήκασιν.*

*ὁ μὲν Παῦλ Οὐολφόβιζ, δεύτερος τοι τοῦ Πενταγώνου ἡγεμών, ἰσχυρίζεται τὸ τοῦ Ἰρὰκ πλῆθος τὸν ἐλευθεροῦντα πόλεμον ἀποκαραδοκεῖν οὕτως ὡς οἱ Γάλλοι τὴν Ἀγγλοαμερικανὴν ἀπόβασιν ἐν τῷ Δευτέρῳ Παγκοσμίῳ Πολέμῳ ἐπόθουν, ἡ δὲ Γαλλία λέγει ὅτι τὸ ψήφισμα ἀπερεῖ, πάντων τῶν Γαλλικῶν κομμάτων ἔκ τε τῆς ἀριστερᾶς καὶ ἐκ τῆς δεξιᾶς ὁμολογούντων.*

*ἐν δὲ τῷ Βαγδὰδ οἱ πλεῖστοι τῶν διπλωματικῶν ξενικῶν ἐργατῶν ἤδη ἐκ τῆς χώρας ἐξῆλθον, μόνον γὰρ ἥ τε Γαλλία καὶ ἡ Ῥωσσία καὶ ἡ Ἑλλὰς πρεσβείαν ἔτι καὶ νῦν ἐργαζομένην παρέχουσιν.*

**Law of the European Council about children travelling by car**
(13-03-03)

*<u>Νόμος τῆς Εὐρωπαϊκῆς Βουλῆς περὶ τῶν παιδίων ἐν αὐτοκινήτῳ πορευομένων</u>*
*Ἡ Εὐρωπαϊκὴ Βουλὴ νόμον ἐψήφικε περὶ τῶν παιδίων οὐκέτι τρία ἔτη γεγονότων· τηλικαῦτα γὰρ παιδία ἐν αὐτοκινήτῳ πορευόμενα χρῆσται ἐπὶ διαφόροις δίφροις καθίζεσθαι καὶ μὴ ἐπὶ τοῖς συνηθέσι· οὗτος δὲ ὁ νόμος οὐ νῦν κυρωθήσεται, ἀλλὰ τῷ δισχιλιοστῷ ἕκτῳ ἔτει. τῶν δὴ αὐτοκινητικῶν συμφορῶν ταῖς παιδικαῖς ἐν τῇ Εὐρώπῃ φθοραῖς πρώτης αἰτίας οὐσῶν, ἥ τε Πορτογαλία καὶ ἡ Ἱσπανία καὶ ἡ Ἑλλὰς χείρισταί εἰσιν περὶ τούτου.*

*Ἡ Εὐρωπαϊκὴ Βουλὴ βούλεται οὕτως τοσοῦτον ὀλέθρων ἀριθμὸν μιθύνειν, πρὸς δὲ τούτοις ἀπείρεκα καὶ τὰ παιδία ἐν τῷ αὐτοκινήτῳ, ὡς ἐν ἔθει ἐστίν, ἄγκαθεν φέρειν.*

**Rome will limit the number of "Centurions"**
(13-03-03b)

*<u>Ἡ Ῥώμα τὸν τῶν Κεντυριώνων ἀριθμὸν ὁρίσει</u>*
*Εἰς τὸ νῦν, πολλοὶ ἄνθρωποι ὡς Κεντυρίωνας ἐνεσκευάσμενοι περὶ τὸν Κολοσσαέα περιεπάτουν, μάλιστα δὲ ἐν τῷ τουριστικῷ χρόνῳ, ὀλίγον ἀργύριον δεχόμενοι διὰ τὸ τοὺς τουρίστας ἐὰν φωτογραφίας τινὰς μεθ' ἑαυτῶν ποιήσασθαι· ἄρτι δὲ ἡ περὶ ταύτης τῆς πράξεως ἀταξία μεγάλη ἐγένετο, τὸ τοιγαροῦν Ῥωμαϊὸν Συνέδριον βούλεται ταύτην τὴν πρᾶξιν κοσμῆσαι· οἷστισιν οὖν οὕτως ἐργάζεσθαι βούλωνται ἂν ἀνάγκη ἔσται κυρίως ἐν τῷ Συνεδρίῳ ἀναγραφῆναι καὶ παιδείαν τινὰ τοῖς ξένοις δεικνύναι, ὁ δὲ μέγιστος ἐατέος Κεντυριώνων ἀριθμὸς ἑκατὸν ἔσται.*

*πρὸς δὲ τῇ τουριστικῇ ὁλκῇ καὶ τοὺς νεμηθέντας τόπους φυλάξουσι ἵνα βλαβήν τινα κωλύσωσιν,*

*οὗτοι γὰρ οἱ νέοι τῆς κα' ἑκατονταετίας Κεντυρίωνες εἰσίν.*

**Djindjic, Prime Minister of Serbia, gun-killed**
(14-03-03)

*Ὁ Δγίνδγικ, Πρωθυπουργὸς τῆς Σερβίας, πυροβολήσεσιν ἀποθνήσκει*

*Ὁ Ζώραν Δγίνδγικ, μέτριος τε πολιτικὸς καὶ προεσπέριος, προχθὲς πυροβολήσεσιν ἀπέθανεν· ὁ τοι Δγίνδγικ, τῷ ἐπὶ τὸν Μιλόσεβικ νεωτερισμῷ ἡγούμενος, αὐτὸν τῷ ἐν τῇ Ἀὰγ δικαστηρίῳ μετέδωκεν ἵνα δικασθείη καὶ δικὴν δοίη.*

*Ὁ δὲ Δγίνδγικ ἤδη νεανίας ὢν τὴν πολιτικὴν τέχνην ἐπετήδευσεν, ὅτε γὰρ ἐν τῷ πανεπιστημίῳ ἐμάνθανεν ἀντικομμουνιστικὸν νεωτερισμὸν διέθηκεν, διὰ δὲ τοῦτο ἑάλω τε καὶ ἐνιαυτὸν ἐν τῷ δεσμωτηρίῳ ἔμεινεν. ἐν δὲ τῇ κατὰ τοῦ Μιλόσεβικ ἐκλογῇ μετὰ τοῦ Κοστουνίκα νικήσας καὶ ἤδη ἐν τέλει ὤν, μεγάλου πολέμου ἐπὶ τὰς κακούργους συστάσεις τῷ τῆς πρόσθεν ἀρχῆς μηχανήματι προσούσας ἤρξατο, διὰ δὲ ταῦτα ὑποπτεύουσιν οἱ φύλακες ὅτι τις τούτων τῶν συστάσεων αὐτὸν ἀπέκτονεν· πρῶτος οὖν περὶ τῆς φονῆς ὕποπτος, περί γε μὴν τῆς διαθήσεως, ὁ Μιλοδὰρ Λουκόβικ ἐστίν.*

*χθὲς δὲ, τῇ ἐπιγενομένῃ μετὰ τὴν φονὴν ἡμέρᾳ, πολλοὶ ἄνθρωποι ἑάλωσαν ἅτε ἐγγὺς ταῖς κακούργοις συστάσεσιν ὄντες, δοκεῖ δὲ τοὺς φονέας τρεῖς εἶναι.*

**Ancient Britons mummified dead, British archaeologist says**
(18-03-03)

*Καὶ οἱ ἀρχαῖοι Βρίττανοι τοὺς νεκροὺς ἐταρίχευον, κατὰ Ἀγγλικὸν ἀρχαιολόγον*

*Ὁ διδάκτωρ Μίκη Πάρκηρ-Πεάρσων τεττάρας νεκροὺς ηὗρε τεταριχευμένους ἐν τῇ νήσῳ Νοτίῳ Οὐϊστ ἐν τῇ Σκοτίᾳ. οὗτοι δὴ οἱ ἄνθρωποι, ἤδη ,γ ἔτη γεγονότες, ἐν τῷ Χαλκέῳ Χρόνῳ διεβίωσαν.*

*νεκρὸς μήν τις γυναικὸς δύο ὀδόντας ἐν ταῖς χερσὶν εἶχεν, διὰ τί δὲ οὐκ ἴσμεν· οἱ μὲν νεκροὶ κακῶς συντετηρημένοι εἰσίν, ὁ δὲ διδάκτωρ Πάρκηρ-Πεάρσων τὰς αἰτίας ἐκδέδειχε δι' ἃς νομίζει τοὺς νεκροὺς ταριχευθῆναι· αἱ γὰρ ἄνθρακος πειράσεις δεδείχασι αὐτοὺς ὅτι ἀπέθανον χ' ἔτη πρὶν ταφῆναι, μόνη δὲ οὖν ἡ ταρίχευσις τοὺς νεκροὺς τοσοῦτον χρόνον συντηρεῖν εἶχεν.*

**Attack imminent**
(18-03-03b)

*Ἡ προσβολὴ ἐνέστηκεν*

*Ὁ πρόεδρος Γ. Βοῦιξ εἶπεν τηλεοπτικῷ λόγῳ χθὲς παρηγγελμένῳ (τρισκαίδεκα λεπτῶν τὸ μῆκος) ὅτι ὁ Σαδὰμ Οὐσσεὶν μόνος τὴν ἐνεστῶσαν προσβολὴν κωλύειν ἕξοι, ἐὰν ἐκ τοῦ Ἰρὰκ ἐκφύγῃ τοὺς υἱοὺς ἔχων καὶ τὴν ἀρχὴν καταλίπῃ· ὁ οὖν Σ. Οὐσσεὶν δυοῖν ἡμερῶν ἀπελθεῖν ἕξει ἀφ' οὗ ὁ πρόεδρος Βοῦιξ τὸν λόγον ἐποίησεν, ἀκριβῶς δὲ εἶπεν ὁ Βοῦιξ· "ὅ τε Σαδὰμ Οὐσσεὶν καὶ οἱ υἱοὶ τὸ Ἰρὰκ λιπεῖν ὀφέλλουσιν μη' ὡρῶν".*

*ἀνὰ δὲ τὸν λόγον ὁ Βοῦιξ καὶ τῷ Ἰρακίῳ λαῷ προσλέγων αὐτὸν ἐπώτρυνε μὴ πρὸ τοῦ Σ. Οὐσσεὶν μάχεσθαι. πάσας δὲ τὰς πείρας περὶ τῆς τῶν ὅπλων εἰρηνικῶς ἀφαιρέσεως λέξας, ὁ Βοῦιξ διεβεβαιώσατο ἔτι περιμένειν κακίον ἢ προσβαλεῖν ἂν εἶναι. τὸ μὲν Ἰρὰκ ἀπεκρίνατο ὅτι ὁ Βοῦιξ*

*αὐτὸς τὴν ἀρχὴν λιπεῖν ὀφέλλοι, αἱ δὲ ΗΑΠ διὰ φυλακῆς ἔχουσι τῶν τρομοκρατικῶν ἐπιβολῶν ἕνεκα.*

*ἡ μὲν Γαλλία καὶ ἡ Ῥοσσία καὶ ἡ Σίνη καὶ ἡ Γερμανία ἔτι καὶ νῦν κατὰ τοῦ πολέμου ἵστανται, ὁ δὲ Κόφι Ἄνναν τοὺς κατασκόπους ᾔτησεν ἐκ τοῦ Ἰρὰκ ἐξελθεῖν.*

**9 dead and 300 infected by Asian pneumony**
(21-03-03)

*<u>Ἐννέα ἀπέθανον καὶ τριακόσιοι ἐν νοσοκομείῳ κεῖνται διὰ Ἀσιατικὴν πνευμονίαν</u>*
*Ἑβδομάδας ἤδη τινὰς τὸ τῆς Ἀσίας νότο-ἀντήλιον ἰσχυρᾷ πνευμονίᾳ συνέχεται, ἐννέα δὲ ἄνθρωποι ἀπέθανον καὶ ἄλλοι τριακόσιοι ἐν νοσοκομείῳ κεῖνται. οἱ μὴν ἐπιστήμονες οἱ τῆς τε Γερμανίας καὶ τοῦ Σιγγαποῦρ καὶ τοῦ Χὸγκ Κὸγκ (ἐνθάδε δὴ ἑκατὸν καὶ ἑξήκοντα νοσηλεύονται) διαβεβαιοῦνται τὴν μετάδοσιν διά τε ἁφὴν καὶ διὰ τὸ πλησιαίτερον εἶναι γίγνεσθαι, διὰ δὲ τοῦ ἀέρος οὔκ.*

*ἡ μὲν νόσος ἐν τῇ νοτίᾳ Σίνᾳ ἤρξατο, Σινικὸς δὲ ἰατρὸς ἐν τοῦ Χὸγκ Κὸγκ πανδοκείῳ τινὶ καταλύων αὐτήν τε ἤνεγκε καὶ διέσπειρεν· ἐν δὴ τῷ πανδοκείῳ οὗτος ὁ ἰατρὸς ἓξ ἄλλους ἀνθρώπους ἀνέπλησεν. λέγουσιν δὲ οἱ ἐπιστήμονες ὅτι ἥ τε βὴξ καὶ οἱ πταρμοὶ τῇ μεταδόσει βοηθοῦσιν.*

**Americans and British enter Irak**
(21-03-03b)

*<u>Οἵ τε Ἀμερικανοὶ καὶ οἱ Βρίταννοι εἰς τὸ Ἰρὰκ εἰσέρχονται</u>*
*Χθὲς πρωὶ αἵ τε ΗΑΠ καὶ ἡ Ἀγγλία τὴν ἐπὶ τὸ Ἰρὰκ προσβολὴν ἤρξαντο· κατ' ἀρχὰς δὲ ἐνίους πυραύλους πρὸς τὸ βασίλειον ἔβαλον ἵνα τὸν Σαδὰμ Οὑσσεὶν ἀποκτεῖναι πειρήσειαν, ἀλλὰ οὐδεὶς οἶδε πότερον ὁ Σ. Ο. ἐτραυμάτισθεν ἢ οὔ. ἔπειτα δὲ πεντήκοντα μὲν χίλιοι στρατιῶται εἰς τὸ Ἰρὰκ εἰσελθόντες τὴν πόλιν Βασόραν ἄξιον λιμένα ἔχουσαν αἱρεῖν ἐν νῷ εἶχον καὶ ἔτι καὶ νῦν μάχονται. μετὰ δὲ ταῦτα τῶν συμμάχων τὸ δεύτερον αὖθις πυραύλους πρὸς τὸ Βαγδὰδ προσβαλόντων ἡ πεζὴ στρατιὰ ἤδη ἑκατὸν καὶ ἑξήκοντα χιλιομέτρα ἀπὸ τοῦ ὅρου εἰς τὸ Ἰρὰκ εἰσέβη.*

*ἅμα δὲ οἱ Ἀγγλοαμερικανοὶ στρατιῶται δύο ἀερολιμένας ἐν τῇ τοῦ Ἰρὰκ ἑσπέρᾳ εἷλον, πολλῶν Ἰρακίων στρατιωτῶν ἑαυτοὺς τοῖς Ἀμερικάνοις παραδόντων. τήμερον δὲ περὶ δείλην, ἀκριβῶς δὴ περὶ ἐννεακαὶδεκα ὥρας τοῦ Γρεένουιξ, τρίτην πυραύλοις προσβολὴν οἱ σύμμαχοι ἐποιήσαντο καὶ τὸ τοῦ Σ. Ο. βασιλεῖον ὤλεσαν.*

*τέλος δὲ ἡ Τουρκία τὰ Ἀμερικανὰ ἀεροσκάφη εἰς τὸ Ἰρὰκ ἀπὸ τῆς Τουρκίας εἰσπέτεσθαι ἐάσει.*

**Two helicopters dissapear in Grozni**
(23-03-03)

*<u>Δύο ἑλικοπτέρα ἀφανίζονται ἐν Γρόσνι</u>*
*Τὸ Κρέμλιν ἤγγειλε προχθὲς δύο πολεμικὰ ἑλικοπτέρα ἀφανῆ ὄντα· τὰ μὲν δύο ἑλικοπτέρα ἠφανίσθησαν πολεμικὸν ἔργον ἐν τῇ Τσετσενίᾳ ἐργαζούμενα, ἡ δὲ προσβοηθοῦσα σύστασις τῆς χθεσινῆς τά τε ἑλικοπτέρα καὶ τοὺς ἐπιβάτας ἐξευρεῖν ἐπειρᾶτο, καίπερ ἰσχυρᾶς θυέλλης ἐν τῷ τόπῳ πᾶσαν τὴν ἡμέραν οὔσης. τὸ δὲ Κρέμλιν ἀγνοεῖ πότερον τὰ ἑλικοπτέρα ὑπὸ τῶν πολεμίων καταβληθέντα ἢ διὰ μηχανικὸν σφάλμα πεσόντα.*

**Angloamerican marines meet resistance**
(23-03-03b)

<u>*Οἱ Ἀγγλοαμερικανοὶ ἐπιβάται ἐναντιώσει ἐντυγχάνουσιν*</u>
*Οἱ Ἀγγλοαμερικανοὶ ἐπιβάται ἑκατὸν χιλιομέτρα τοῦ Βαγδὰδ ἀπέχουσιν, ὑπολαμβάνεται δὲ ὅτι ἡ περὶ τῆς πρωτευούσης μάχη τετταράκοντα ὥρων ἄρξεται. τέως δὲ ὁ προπαγανδιστικὸς πόλεμος διαμένει· ἡ μὲν γὰρ τοῦ Ἰρὰκ ἀρχὴ Ἀμερικανούς τινας στρατιώτας ἀπέδειξεν αἰχμαλώτους διὰ τῆς τηλεοράσεως, οἱ δὲ Ἀμερικανοὶ διαβεβαιοῦνται σχεδὸν χιλίους Ἰρακίους αἰχμαλώτους αὐτοὶ κατέχειν. ὁ τοι Δώναλδ Ῥοῦμσφελδ ὡμολόγησε μὲν στρατιώτας τινὰς ἀφανεῖς εἶναι, λέγει δὲ καὶ ὅτι τοῖς αἰχμαλώταις προπαγανδιστικῶς χρῆσθαι τὰς τῆς Γενεύης σπονδὰς καταλύει.*

*χθὲς μὲν Ἀγγλικὸν ἀεροσκάφος Πάτριοτ πυραύλῳ κατεβλήθη, τήμερον δὲ πρωὶ ἓξ πάταγοι τὸ Βαγδὰδ ἐτίναξαν, ἔπειτα δὲ ἑκατὸν καὶ εἴκοσι Ἰράκιοι στρατιῶται ἐν οἰκήματι κατακρύψαντες ἐπὶ τοὺς Ἀγγλοαμερικανοὺς ἐπιβάτας ἐν τῷ Οὺμ Κὰσρ ἐμαχέσαντο· τέλος δὲ ἑαυτοὺς παρέδοσαν.*

**1000 militay Iraqi vehicles advance towards Najaf**
(26-03-03)

<u>*Χίλια πολεμικὰ Ἰράκια ὀχήματα πρὸς τὸ Ναχὰφ πορεύεται*</u>
*Οὗτος ὁ πολεμικῶν ὀχημάτων στῦλος ἐκ τοῦ Βαγδὰδ ἐξῆλθε καὶ πρὸς τὸν νότον πορεύεται ἵνα τοῖς Ἀμερικάνοις θωρακισμένοις ἅρμασι μάχωνται· πρότερον δὲ τριακόσιοι Ἰράκιοι στρατιῶται ἐν τῇ μάχῃ τῇ περὶ γεφύρας τινὸς τὸν Εὐφράτην ποταμὸν ὑπερβαινούσης ἀπέθανον. οἱ μὲν Ἀμερικάνοι στρατηγοὶ λέγουσιν ὅτι ἀεροσκάφεσι τῷ στύλῳ προσβαλεῖν δεῖ ἵνα βραδύτερον προσελαύνωσιν οἱ Ἰράκιοι, μεγάλη δὲ ψαμμίνη θύελλα τὰ Ἀμερικανὰ ἀεροσκάφη πέτεσθαι ἐκώλυσεν· καὶ δὴ καὶ τὰ Ἀπάξη ἑλικοπτέρα πέτεσθαι διὰ τὴν θύελλαν ἐκωλύσθησαν. οἱ δὴ Ἀμερικάνοι στρατηγοὶ νομίζουσιν τοὺς Ἰρακίους τὴν γέφυραν πάλιν ἑλεῖν βούλεσθαι.*

*χθὲς μὲν βομβαρδισμός τις ἐν τῇ τοῦ Βαγδὰδ ἀγορᾷ πεντεκαίδεκα πολίτας ἀπέκτεινεν, ὁ δὲ Βοῦιξ πολὺν χρόνον πολεμητέον εἶναι παρήγγειλεν.*

**Paul McCartney starts his tour through Europe**
(26-03-03b)

<u>*Ὁ Παῦλ ΜκΚάρτνει τῆς ἐν τῇ Εὐρώπῃ ἀποδημίας ἄρχεται*</u>
*Ὁ Παῦλ ΜκΚάρτνει, ἤδη ἑξήκοντα ἔτη γεγονώς, χθὲς τῆς ἐν τῇ Εὐρώπῃ ἀποδημίας ἦρξατο· τὸ δὲ θέαμα "Πάλιν ἐν τῷ Κόσμῳ" ἐν τῷ Παρισίῳ ἐδείχθη, μέγα δὲ ἐπέτυχεν, τοῦ Παύλου μάλα εὐδοκιμοῦντος· ὁ γὰρ Βριταννικὸς ᾠδὸς ἤδη τετταράκοντα ἔτη ᾖσε καὶ τοῦτο γε ἑορτάζει.*

*τὸ δὲ θέαμα, μακρὸν χρόνον διαμένον, σύμμειξις ἐγένετο ἀρχαιολογίας τε καὶ πανηγύρεως· ὁ μὲν ἐχόμενον θέαμα ἐν τῇ Βαρκελώνῃ τῇ Παρασκευῇ καὶ τῷ Σαββάτῳ γενήσεται, τῷ δὲ Μαίῳ μηνὶ ἐν Μοσκβῇ, ἀκριβῶς δὴ ἐν τῇ Ἐρυθρᾷ Ἀγορᾷ, ἐργάσεται, οὗ τὸ μέλος "Πάλιν ἐν τῇ ΕΣΚΔ" ᾄσεται· τῶν μὲν γὰρ κομμουνιστῶν ἐν τέλει ὄντων, τῷ ΜκΚάρτνει οὐ δυνατὸν ἦν ἐν τῇ Ῥωσίᾳ ἐργάζεσθαι, νῦν δὲ τὸ πρῶτον ἐκεῖσε πορεύσεται.*

**Trial for Dutch politician Pim Fortuyn murder begins**
(28-03-03)

*Ἡ δίκη ἡ ἐπὶ τὸν τοῦ Ὀλανδικοῦ πολιτικοῦ Πὶμ Φορτοῦνι φονέα ἄρχεται*

*Χθὲς ἐν τῷ Ἄμστερνταμ ἡ ἐπὶ τὸν Βόλκερτ βὰν δὲρ Γράφ δίκη ἤρχατο, ὃς τὸν δεξιὸν πολιτικὸν Πὶμ Φορτοῦνι τῷ Μαίῳ ἀπέκτεινεν. ὁ μὴν φεύγων, οἰκολογιστὴς ὤν, μέχρι τοῦ Νοεμβρίου τὸν φόνον οὐχ ὡμολόγησεν. ὁ δὲ φονεὺς εἶπεν ὅτι τὸν Π. Φορτοῦνι ἀποκτεῖνοι διότι οὗτος ὁ πολιτικὸς τοῖς πένησι κινδυνώδης εἴη καὶ διότι τοὺς μετανάστας μισήσοι· κατὰ δὴ τὸν φονέα, οὐκ ἔδει τὸν Π. Φορτοῦνι εἰς τὴν ἀρχὴν ἀφικνεῖσθαι.*

*ἡ δὲ δίκη, τρεῖς ἡμέρας παραμενοῦσα, ὡς οἷόν τε μάλιστα φύλαξι πολλοῖς σκεπάζεται· ὁ μὲν φεύγων διὰ τῆς δίκης ἥσυχος ἦν, καίπερ δικὰς διδούς, οἱ δὲ τοῦ τεθνηκότος συγγενεῖς καὶ ἐν τῷ δικαστηρίῳ παρῆσαν.*

**Great Britain says Iraqis shot against own population in Basra**
(28-03-03b)

*Ἡ Μεγάλη Βρετανία λέγει ὅτι οἱ Ἰράκιοι ἐπὶ τοὺς ἑαυτῶν πολίτας ἐπυροβόλησαν*

*Βρετανικοὶ στρατηγοὶ λέγουσιν ὅτι οἱ Ἰράκιοι στρατιῶται ἐπὶ πολίτας ἐν τῇ Βάσρᾳ οἰκοῦντας ἐπυροβόλησαν· οὗτοι μὲν οἱ πολῖται ἐκ τῆς πόλεως ἐξελθεῖν ἐπείρωντο, οἱ δὲ Ἰράκιοι στρατιῶται τοῦτο οὐκ εἴασαν καὶ αὐτοὺς ἐξελθεῖν πυροβολοῦντες ἐκώλυσαν.*

*χθὲς μὲν ἡ Ἰράκια τηλεόρασις τὸν Σ. Οὐσσεὶν ἐν συνεδρίῳ σὺν Ἰρακίῳ τοῦ βιολογικοῦ πολέμου ἐπαΐοντι ἔδειξεν, λέγουσιν δὲ οἱ σύμμαχοι ὡς τοῦτο τεκμήριόν ἐστι τοῦ Σ. Οὐσσεὶν τούτοις τοῖς ὅπλοις χρῆσθαι βουλομένου.*

*τὸ μὲν Ἰρὰκ εὔχεται δεύτερον ἑλικοπτέρον Ἀπάξη καταβαλεῖν, οἱ δὲ σύμμαχοι διαβεβαιοῦνται τοῦτο τὸ ἑλικοπτέρον τὸ αὐτὸ εἶναι ἢ τὸ ἤδη τετάρτην ἡμέραν καταβληθέν. οἱ δὲ σύμμαχοι ἑτοιμάζονται νῦν ἵνα ἐπὶ τοὺς βελτίστους τοῦ Σ. Οὐσσεὶν στρατιώτας, τὴν ῥεπουβλικανὴν φρουράν, πολεμήσωσιν.*

**Switzerland wants to tax cannabis sales**
(30-03-03)

*Ἡ Ἑλβετία φόρον ἐπὶ τὴν καννάβεως πώλησιν ἐπιθεῖναι βούλεται*

*Ἡ τῇ ὑγιείᾳ πρεσβεία ἡ τῆς Ἑλβετικῆς βουλῆς βούλεται φόρον ἐπὶ τὴν καννάβεως πώλησιν ἐπιθεῖναι, ὡσεὶ ἡ κάνναβις καπνὸς ἢ οἰνόπνευμα εἴη· τὰ οὖν χρήματα οὕτως κεκτημένα δημόσια ἔσται. πρώτερον μὲν ἡ Ἑλβετικὴ ἀρχὴ τὴν καννάβεως χρῆσιν ἐὰν ὀφείλει, τὸ νῦν γὰρ φυτεύειν τε καὶ πωλεῖν ἀπόρρητόν ἐστιν, ὁ δὲ νεὸς νόμος Ἑλβετικοῖς πολίταις πωλεῖν ἐάσει, ἐὰν αὕτη ἡ πρᾶξις δημίην ταραχὴν οὐ ποιῇ.*

*καὶ δὴ καὶ τὸ Βέλγιον ὁμοίως νομοθετεῖν ἐν νῷ ἔχει, τὴν μὲν γὰρ χρῆσιν ἐάσει, φόρον δὲ ἐπὶ τὴν πώλησιν οὐκ ἐπιθήσει.*

**Angloamerican advance into Irak stopped**
(30-03-03b)

*Ἡ Ἀγγλοαμερικανὴ εἰς τὸ Ἰρὰκ πρόσοδος ἐφίσταται*

*Καίπερ τοῦ Ἀμερικανοῦ στρατηγοῦ Τόμμι Φρὰνξ διαβεβαιοῦντος τὸν πόλεμον εὖ προχωρεῖν, οἱ σύμμαχοι στρατιῶται οὐκέτι εἰς τὸ Ἰρὰκ προχωροῦσιν ἅτε σῖτον οὐκ ἔχοντες, οἱ γὰρ Ἰράκιοι τὸ ἐπισιτίζεσθαι κωλύουσιν.*

*ἐν μὲν τῇ Βάσρᾳ Βρετανικοὶ ἐπιβάται δύο Ἰρακίους στρατηγοὺς εἷλον, οἱ δὲ Ἀμερικανοὶ ἐπιβάται τὴν πόλιν Ναχὰφ πολιορκοῦσιν. ἐν δὲ τῷ Κουβέιτ ἡνίοχος φορτηγὸν ἐπὶ στρατόπεδον ἐκυβέρνησε καὶ πολλοὺς στρατιώτας ἔτρωσεν.*

*ὁ δὲ τοῦ Ἰρὰκ φερέφωνος εἶπεν ὅτι αἱ αὐτοσφαγεῖς προσβολαὶ μόνον ἄρξαιντο, τὸ δὲ Πενταγώνον ταύταις ταῖς προσβολαῖς τυρβάζεται. αὐτοσφαγεῖ γὰρ προσβολῇ ἐν μὲν τῷ Ἰσραὴλ τριάκοντα πολῖται ἐτρώθησαν, ἐν δὲ τῇ πόλει Ναχὰφ τεττάρες Ἀμερικανοὶ στρατιῶται ἀπέθανον· ὁ μὲν Σαδδὰμ Οὐσσεὶν αὐτὸς τὸν ἐν τῷ Ναχὰφ αὐθέντην ἐτίμησεν, πλείονας δὲ αὐτοσφαγεῖς προσβολὰς ὑπέσχετο.*

**England wins the Six Nations Trophy**
(01-04-03)

*Ἡ Ἀγγλία τὸ Ἓξ Χῶραι Τρόπαιον φέρεται*

*Ἡ Ἀγγλία τῇ Κυριακῇ τὴν Ἰρλανδίαν ἐνίκησεν, τῆς βαθμολογίας ἐν τῇ τελευτῇ τετταράκοντα καὶ δύο - ἓξ οὔσης, καὶ τὸ Ἓξ Χῶραι Τρόπαιον ἠνέγκατο· τοῖς μὲν προτέροις ἔτεσι ἡ Ἀγγλία, ἡ τοῦ ῥόδου ὁμάς, τῇ ἐσχάτῃ ἡμέρᾳ ὑπὸ τῆς τε Οὐαλίας καὶ τῆς Σκοτίας καὶ τῆς Ἰρλανδίας νικηθεῖσα τὸ τρόπαιον οὐκ ἠνέγκατο, τούτῳ δὲ τῷ ἔτει ἐπέτυχεν.*

*ὅμως δὲ ἡ μὲν Ἰρλανδία τῷ Νοεμβρίῳ τοὺς Αὐστραλιάνους, τοὺς παγκοσμίους προστάτας, νικήσασα πρὸς τὸν ἀγῶνα ὡς τὸ τρόπαιον οἰσομένη ἀφίκετο, ἡ δὲ τοῦ ῥόδου ὁμὰς αὐτοὺς ἐκώλυσεν, οἱ γὰρ Ἀγγλικοὶ ἤδη τῷ μὲν πρώτῳ ἡμίσει ἐνίκων, τῷ δὲ δευτέρῳ ἔτι μᾶλλον τῶν Ἰρλανδικῶν περιεγένοντο. τῷ δὲ Σαββάτῳ ἡ Γαλλία τὴν Οὐαλίαν ἐν τῷ Παρισίῳ ἐνίκησε καὶ ἐν τῷ Ἐδιμβοῦργ ἡ Ἰταλία τῆς Σκοτίας ἡττήθη.*

*ἡ τελευταῖα διάταξις οὕτως μένει·*

| | |
|---|---|
| *πρώτη καὶ προστάτης·* | *ἡ Ἀγγλία.* |
| *δευτέρη·* | *ἡ Ἰρλανδία.* |
| *τρίτη·* | *ἡ Γαλλία.* |
| *τετάρτη·* | *ἡ Σκοτία.* |
| *πέμπτη·* | *ἡ Ἰταλία.* |
| *ἕκτη·* | *ἡ Οὐαλία.* |

**62 dead as ferry sinks in Bangla Desh**
(06-04-03)

*Ἑξήκοντα καὶ δύο ἀπέθανον ἐν Βάγγλα Δεῖς διὰ ναυαγίαν*

*Τὸ πλοῖον, ἑκατὸν τε καὶ πεντήκοντα ἀνθρώπους καὶ πολλὰς στήλας φέρον, μεγάλῃ ὁλκάδι ἐν ποταμῷ συνέκρουσεν· σχεδὸν δὲ πάντες οἱ τεθνηκότες παῖδες τε καὶ γυναῖκες ἦσαν, ἅτε ἔνδον τῆς νεὼς πορευόμενοι, οἱ γὰρ ἄνδρες ἐπὶ τῷ καταστρώματι συνήθως πορεύονται.*

**Volcano Stromboli in eruption again**
(06-04-03b)

*Τὸ ἡφαίστειον Στρόμβολι αὖθις ἐκρήγνυται*

*Τὸ ἡφαίστειον χθὲς ἐξερράγη, πολλοὶ δὲ διάπυροι λίθοι, ἔνιοι τοι ἑνὸς τόννου ὄντες τὸ βάρος, ἐπὶ τὸν μικρὸν λιμένα Γινόστρα κατέπεσον. καὶ τῷ πρόσθεν Δεκεμβρίῳ τὸ Στρόμβολι ἐξερράγη, τότε μὲν τετρακοσίους πολίτας ἐδέησε τὰς ἑαυτῶν οἰκίας λιπεῖν, χθὲς δὲ οὐδεὶς ἐβλάβη. τοῦτο τὸ ἡφαίστειον ἐν μικρᾷ νήσῳ πλησίον τῆς Σικελίας κεῖται.*

**Angloamerican troops surround Baghdad and use airport**
(06-04-03c)

*Οἱ Ἀγγλοαμερικανοὶ στρατιῶται τὸ τε Βαγδὰδ πολιορκοῦσι καὶ τῷ ἀερολιμένι χρῶνται*

*Ἐνίας ἡμέρας διὰ τὴν τοῦ σίτου ἀπορίαν ἐν σχολῇ μείναντες, οἱ Ἀγγλοαμερικανοὶ στρατιῶται ταχέως πρὸς τὸ Βαγδὰδ προῆλθον καὶ νῦν τὴν πρωτεύουσαν πολιορκοῦσιν· χθὲς δὲ εἰς μὲν τὸ προάστειον εἰσέβαλον, πολὺν δὲ χρόνον οὐκ ἔμειναν, οἱ γὰρ σύμμαχοι βούλονται οὕτως δεικνῦναι ὅτι αὐτοὶ εἰσελθεῖν καὶ ἐξελθεῖν δύνανται ὅταν ἐθέλωσιν. οἱ δὴ σύμμαχοι τῶν εἰς τε τὸ καὶ ἐκ τοῦ Βαγδὰδ ὁδῶν ἄρχουσιν, ὁπότε δὲ πάλιν εἰσβαλοῦσιν οὐδεὶς οἶδεν.*

*χθὲς μὲν ἐν τῇ τοῦ Ἰρὰκ ἄρκτῃ οἱ Ἀγγλοαμερικανοὶ διὰ σφάλμα ἑπτακαίδεκα τε συμμάχους στρατιώτας, Πεσμέργας δὴ Κούρδους, καὶ Βρετανικὸν μεταγραφέα ἀπέκτανον καὶ τετταράκοντα καὶ πέντε ἔτρωσαν, τήμερον δὲ ἔνια Ἀμερικανὰ ἀεροσκάφη ἤδη εἰς τὸν τοῦ Βαγδὰδ ἀερολιμένα προσεγειώνατο· οἱ μὲν οὖν Ἀμερικανοὶ δεύτεραν ἤδη ἡμέραν τοῦτον τὸν ἀερολιμένα εἶλον, οἱ δὲ Ἰράκιοι οὔ φασι τοῦτο ἀληθὲς εἶναι.*

*ἐν δὲ τῇ Βάσρᾳ οἱ Βρετανικοὶ ἐπιβάται εἰς μὲν τὴν πόλιν εἰσέρχονται, βραδέως δέ, οἷα τῶν πολιτῶν φείδεσθαι βουλόμενοι.*

**Court in Cuba condemns political dissidents**
(08-04-03)

*Τὸ ἐν τῇ Κούβῃ δικαστήριον πολιτικῶν νεωτεροποιῶν καταδικάζει*

*Τὸ ἐν τῇ Κούβῃ δικαστήριον τῇ Δευτέρᾳ ἑπτὰ πολιτικῶν νεωτεροποιῶν σχεδὸν εἴκοσι ἔτη ἐν δεσμωτηρίῳ κατεδίκασε ὡς τῇ ἀρχῇ ἐπιβουλευόντων· τῶν γὰρ νεωτεροποιῶν ταύτην τὴν δίκην ὀφλόντων, ἡ κομμουνιστικὴ ἀρχὴ πειρᾷ ἄγγελμα πρὸς τὸ Οὐασίγκτον πένψαι, ὅτι οὐκ ἐάσει οὐδεμίαν τῷ νεωτερισμῷ βοηθείαν. ἄλλοι μὲν ἑβδομήκοντα καὶ εἷς ἄνθρωποι αἰτίαν ὑπέχουσιν, αὗται δὲ αἱ δίκαι οὐκέτι πέρας ἔσχεν.*

*οἱ δὲ τῶν κατακρίτων συγγενεῖς εἶπον ὅτι οἱ νεωτεροποιοὶ οὐδὲν ἄλλο ἢ κατὰ τῆς ἀρχῆς δοξάζοιεν· τῆς δὲ διαδικασίας δεικνυμένης, οἱ φεύγοντες ἐν τῷ δικαστηρίῳ οὐ παρῆσαν. ἡ τε Εὐρωπαία Ἕνωσις καὶ πολλαὶ παγκοσμίαι συστάσεις τῇ κατακρίματι ἠγανάκτησαν.*

**Fire in Russian school kills 22**
(08-04-03b)

*Πυρκαϊὰ ἐν Ῥωσικῷ διδασκαλείῳ εἴκοσι καὶ δύο ἀνθρώπους ἀποκτείνει*

*Εἴκοσι καὶ εἷς μαθηταὶ καὶ εἷς διδάσκαλος τῇ Δευτέρῃ διὰ μεγάλην πυρκαϊὰν ἐν διδασκαλείῳ ἐν τῇ*

*Σιβερίᾳ ἀπέθανον, καὶ δὴ καὶ δέκα ἄλλοι μαθηταὶ ἐτρώθησαν τῶν θυρίδων ἐκπηδῶντες, ἐκ γὰρ τῆς πυρκαϊᾶς ἔφευγον· ὅτε γὰρ ἡ πυρκαϊὰ πρωὶ ἐγένετο, ἑκατὸν καὶ εἴκοσι μαθηταί, σχεδὸν πάντες πεντεκαίδεκα ἔτη γεγονότες, ἐν τῷ διδασκαλείῳ ἦσαν.*

*ὁ οὖν πρόεδρος* Β. Ποῦτιν, *τὴν συμφορὰν εἰδώς, τὴν ἐν* Μόσχῃ *ἀρχὴν ἐκέλευσε τοῖς τῶν τεθνηκότων συγγενέσι βοηθεῖν· τὸ μὲν διδασκαλεῖον ἐν μικρᾷ κώμῃ πυροσβέστας οὐκ ἐχούσῃ κεῖται, τοὺς δὲ πυροσβέστας ἐννεακαίδεκα χιλιομέτρα πορεύειν ἐδέησεν ἵνα εἰς τὴν κώμην ἀφίκοιντο. τὴν δὲ τῆς πυρκαϊᾶς αἰτίαν ἔτι καὶ νῦν οὐδεῖς οἶδεν.*

**American marines enter Baghdad**
(09-04-03)

<u>Οἱ 'Αμερικάνοι *ἐπιβάται εἰς τὸ* Βαγδὰδ *εἰσβαίνουσιν*</u>
Οἱ *μὲν* 'Αμερικάνοι *ἐπιβάται τήμερον εἰς τὸ* Βαγδὰδ *εἰσέβησαν τῶν* Ἰρακίων *στρατιωτῶν οὐκ ἐναντιούντων, ἡ δὲ τοῦ* Βαγδὰδ *μάχη περὶ ἧς ὁ* Σαδδὰμ Οὐσσεῖν *τοσοῦτον ἔλεγεν οὐκ ἐγένετο· ἐπειδὴ γὰρ οἱ* Ἰράκιοι *πολῖται εἶδον οὐδένα τοῖς* 'Αμερικάνοις *ἐναντιοῦντα, τοὺς ἐπιβάτας ἠσπάσαντο· ἔπειτα δὲ οἱ τε πολῖται καὶ οἱ ἐπιβάται τοὺς τοῦ* Σ. Οὐσσεῖν *ἀνδριάντους κατέβαλον. ὅμως δὲ πρὸς τῷ πανεπιστημίῳ ἔνιοι* Ἰράκιοι *στρατιῶται ἐπὶ τοὺς* 'Αμερικάνους *ἐπυροβόλησαν.*

*νῦν δὲ οἱ* 'Αμερικάνοι *τὴν μὲν πρωτενούσην κατέχουσιν, πᾶσαν δὲ τὴν χώραν οὔ· ὁ γὰρ* Δώναλδ Ῥούμσφελδ *εἶπε τήμερον ὅτι πολλὰ τοῦ* Ἰρὰκ *μέρη οὐδέπω ὑπὸ τῶν* 'Αμερικάνων *κατέχεται. ἐπὶ δὲ τούτοις, οὐδένος νῦν ἐν τέλει ὄντος, πολλοὶ μὲν* Ἰράκιοι *πολῖται τά τε βασίλεια καὶ τὰ ὑπουργεῖα ἐληΐσαντο, οἱ δὲ σύμμαχοι ὅπως τὰς λῃστείας κωλύειν δύνανται οὐκ ἴσασιν. καὶ τήμερον οἱ μὲν* Κοῦρδοι *στρατηγικὸν ὄρος πλησίον τῆς πόλεως* Μωσοῦλ *κατέλαβον, οἱ δὲ* Βρετανικοὶ *ἐπιβάται τὴν* Βάσραν *ἤδη παντελῶς κατέχουσιν.*

*οὐδεῖς μὲν οὐδέπω οἶδεν ὅπου ὁ* Σ. Οὐσσεῖν *ἐστιν καὶ πότερον ζῇ ἢ ἀπέθανε καὶ ὅστις νῦν τοῦ* Ἰρὰκ *ἄρξει, ὁ δὲ* 'Αμερικανὸς *πρόεδρος* Γ. Βοῦιξ *εἶπεν ὅτι δέοι τοὺς* Ἰρακίους *τοῦ* Ἰρὰκ *ἄρχειν.*

**White House: "The regime is gone"**
(11-04-03)

<u>Ἡ Λευκὴ Οἰκία· "Ἡ *δικτατωρεία ἀπῆλθεν*"</u>
Ὁ Ἄρι Φλεῖξερ *εἶπε τήμερον τῇ* Παρασκευῇ *τοῖς δημοσιογράφοις ὅτι ἡ* Ἰράκια *δικτατωρεία ἤδη τέλος ἔσχεν, ὁ δὲ* 'Αμερικανὸς *πρόεδρος* Γ. Βοῦιξ *καὶ ὁ* Βρετανικὸς *πρωθυπουργὸς* Τ. Βλαῖρ *τοῖς* Ἰράκιοις *πολίταις τῇ* Πέμπτῃ *διὰ τῆς τηλεοράσεως εἶπον ὅτι οἱ σύμμαχοι τὸν κόσμον διασώσοιεν· οὗτος δὴ ὁ λόγος εἰς τὴν* 'Αραβικὴν *γλῶτταν μεθηρμενεύθη.*

*οἱ μὲν ἐν τῷ* Ἰρὰκ *σύμμαχοι στρατιῶται κατάλογον ἐδέξαντο τὰ τῶν πρόσθεν* Ἰρακίων *ἡγεμόνων ὀνόματα ἔχοντα, ἐν δὲ ταῖς ὁδοῖς μεγάλας τῶν ἡγεμόνων φωτογραφίας τεθήκασιν ἵνα οἱ πολῖται αὐτοὺς ἐπιγιγνώσκειν δυνῶνται.*

*ἐν μὲν τῷ* Βαγδὰδ *οἱ πολῖται τὰς τῆς πρόσθεν ἀρχῆς οἰκίας ἔτι καὶ νῦν λῃΐζονται, τῆς ἀναρχίας κρατούσης, ἐν δὲ τῷ* Βορέᾳ *ἡ πόλις* Μώσουλ *ὑπὸ τῶν* 'Αμερικανῶν *ἐπιβάτων ᾑρέθη, οὗτοι γὰρ οἱ στρατιῶται νῦν τὴν πόλιν* Τίκριτ, *ἐν ᾗ ὁ* Σαδδὰμ Οὐσσεῖν *ἐγένετο, ἑλεῖν πειρήσουσιν. πολλοὶ μὲν* Ἰράκιοι *στρατιῶται τὸν* Βορέαν *ἄοπλοι λείπουσιν, ἄλλοι δὲ ἐν τῇ πρωτενούσῃ ἐπὶ τοὺς* 'Αμερικανοὺς *στρατιώτας ἔτι πυροβολοῦσιν, πολλῶν πυρκαϊῶν πανταχοῦ ὄντων.*

*ἡ δὲ στρατιώτη Χέσσικα Λῖνξ εἰς τὰς ΗΑΠ αὔριον τῷ Σαββάτῳ ἐπάνεισιν, αὕτη δὴ ἡ στρατιώτη ἐκ τῶν πολεμίων ὑπὸ τῶν ἑταίρων ἐσώθη.*

**Police free Berlin bus hostages**
(12-04-03)

*Οἱ φύλακες τοὺς ἐν λεωφορείῳ ὁμήρους ἐν τῷ Βερλὶν ἐλευθεροῦσιν*

*Τῇ Παρασκευῇ πρῷ λῃστής τις ἐν τραπέζᾳ χρήματα ἁρπάσας εἰς λεωφορεῖον εἰσέβη ἵνα ἀποφύγοι, τοὺς δὲ εἴκοσι ἀνθρώπους ἔνδον ὄντας ὁμήρους κατέσχεν· ὅμως δὲ διὰ τῆς ἡμέρας πάντες μέν οἱ ὅμηροι ἐκ τοῦ λεωφορείου ἐξέβησαν, μόνον δὲ δύο ἔνδον ἐνέμειναν. μετὰ μὲν τὴν λῃστείαν οἱ φύλακες τῷ λεωφορείῳ ἕσποντο, ἐπεὶ δὲ τοῦτο ἐπέστη, οἱ φύλακες αὐτὸ κυκλώσαντες τῷ λῃστῇ ἤρξαντο λέγειν τε καὶ πράττειν ὅπως τούς ὁμήρους ἀφήσοι. τέλος δὲ προσβαλλοῦσα σύστασις εἰς τὸ λεωφορεῖον διὰ τῆς ὀπισθίας θυρίδος εἰσέβη καὶ ἐπὶ τὸν λῃστὴν πυροβολήσασα ἐν ὤμῳ ἔτρωσεν.*

*οἱ δὲ δύο ὅμηροι ἦσαν πολίτης τις καὶ ἄοπλον φυλακίς, αὕτη γὰρ τὴν λῃστείαν ἰδοῦσα τῷ λῃστῇ ἕσπετο καὶ μετ' αὐτοῦ εἰς τὸ λεωφορεῖον εἰσέβη. ἡ δὴ ἐλευθέρωσις διὰ τῆς τηλεοράσεως ἐδείχθη.*

**Concorde not going to fly any more from October**
(12-04-03b)

*Τὸ Κονκὼρδ τῷ Ὀκτωμβρίῳ οὐκ αὖθις πετήσεται*

*Τῇ Πέμπτῃ αἱ Βρίτιξ Αἴρβαις καὶ ἡ Αἴρ Φράνζη συστάσεις διήγγειλαν ὅτι ταῦτα τὰ ἀεροσκάφη ἤδη τῷ Ὀκτωμβρίῳ οὐ πετήσοιτο ὡς μεγάλης δαπάνης αἴτια ὄντα· πόρευσις μὲν γὰρ ἐκ τοῦ Παρισίου ἢ τοῦ Λόνδον εἰς τὴν Νέαν Ὑόρκην πολλοῦ τιμᾶται, μικρὸν δὲ τῶν θέσεων μέρος πωλεῖται.*

*νῦν δὲ ἡ μὲν Βίργιν 'Ατλάντικ σύστασις τὰ ἕπτα Κονκὼρδ ὠνεῖσθαι ἐν νῷ ἔχει, λέγει δὲ ὁ Ῥίξαρδ Βράνσων, ὁ Βίργιν 'Ατλάντικ κεκτημένος, ὅτι εἰ αὐτὸς τὰ ἑπτὰ Κονκὼρδ νέμει, ταῦτα τὰ ἀεροσκάφη οὐκέτι δαπάνης αἴτια ἔσται, προστίθησι δὲ ὅτι ἡ μέθοδος ῥᾳδία ἐστίν, δεῖ γὰρ μόνον τὰς ὠνὰς συντέμνειν (ὅπως δὲ οὐ λέγει, πῶς γὰρ οὔ;)· ἡ μὲν Βρίτιξ Αἴρβαις σύστασις τὰ ἑπτὰ Κονκὼρδ πωλεῖν οὐκ ἐθέλει, λέγει δὲ ὅτι τὰ ἀεροσκάφη μουσείῳ τινὶ δώσει.*

*ἡ δὲ μεγίστη ἀγγελία ἥδε ἐστίν· πόσον οὖν ὁ Ῥίξαρδ Βράνσων τίνειν ἐθέλει ἵνα τὰ ἑπτὰ Κονκὼρδ ὠνήσηται;*

*μίαν στερλίναν.*

*ἥκιστά γε, γραμματικὴ δὴ ἁμαρτία τοῦτο οὐκ ἐστιν· μίαν στερλίναν.*

**After 20 years, Shiites can now pilgrim to Karbala**
(21-04-03)

*Μετὰ εἴκοσι ἔτη οἱ Σιῖται πρὸς τὴν Καρβάλαν νῦν πορεύεσθαι ἔχουσιν*

*Αἱ ΗΑΠ τὴν ἐλευθηρίαν τῷ Ἰρὰκ ἀπέδοσαν, νῦν δὲ οἱ πολῖται ἐλευθερῶς διαδηλοῦνται· τὰ πρόσθεν μὲν οἱ Σιῖται πρὸς τὴν Καρβάλαν πορεύεσθαι οὐκ εἶχον, ὁ γὰρ Σαδδὰμ ἅτε λαϊκὴν ἀρχὴν ἔχων αὐτοὺς ἐκώλυεν, νῦν δὲ ἔχουσιν· οἱ δὲ Σιῖται τὴν ἑαυτῶν πολιτικήν τε καὶ δημογραφικὴν ῥώμην δεικνῦναι βούλονται, πλείονες γὰρ ἢ τὸ ἥμισυ τῶν Ἰρακίων πολιτῶν εἰσιν.*

*τῷ μὲν προφήτῃ Μωάμεθ θυγατριδοῦς ἦν, Οὐσσεὶν ὀνόματι, οὗτος δὲ ἐν τῇ Καρβάλῃ ἀπέθανεν ἐπὶ τὸν τοῦ Βαγδὰδ Καλίφα Ὀμεία μαχόμενος, οἱ γὰρ πολέμιοι αὐτὸν ἀπεκεφάλισαν· οἱ οὖν ὁδοιπόροι τὸν τοῦ Οὐσσεὶν θάνατον μνημονεύουσιν. ἔνιοι μὲν ὁδοιπόροι ἤδη δεύτεραν ἡβδομάδα πορεύονται, πολλοὶ δὲ μύριοι διακοσία χιλιόμετρα βαδίζουσιν ὕμνους τῷ προφήτῃ ᾄδοντες.*

*τοὺς δὴ Ἀμερικανοὺς στρατιώτας οὓς ἀπαντῶσιν οὔτε φίλους οὔτε πολεμίους οἱ ὁδοιπόροι νομίζουσιν, ἡ γὰρ στάσις ἣν οἱ Σιῖται ἐπὶ τοὺς Ἀμερικανοὺς ἂν δείκνύωσιν δοκεῖ ἀπὸ τῶν θρήσκων ἡγεμόνων ἀρτηθήσεσθαι.*

**China recognizes to have hidden data about the pneumonia**
(21-04-03b)

*<u>Ἡ Σίνα ὁμολογεῖ ὅτι γνωρίσματα περὶ τῆς πνευμονίας ἔκρυψεν</u>*

*Ἡ Σίνα, οἷα οὐκέτι τὰ ἀληθῆ πλείονα χρόνον κρῦψαι ἔχουσα, γνώμην ἐποιήσατο τὰ ἀληθῆ λέγειν· οὐδέποτε γὰρ τὴν ἐπιδημίαν κατεῖχε καὶ τὸ κατάστημα νῦν ἀκρατές ἐστιν. κατ' ἀρχὰς μὲν οὐκ ἔφη ἡ Σίνα τὸ πρᾶγμα μέγα εἶναι, ἐπείρασε δὲ τὴν ἀπορίαν κρῦψαι ἵνα οἱ τουρίσται οὐ παύσαιεν εἰς τὴν Σίναν πορευόμενοι, τέλος δὲ ἡ ἀλήθεια ἐνίκησε τὴν τοῦ κρῦψαι πείρασιν.*

*καὶ μὴν ὁ Σινικὸς πρωθυπουργὸς ἐπείρασε τῇ Παρασκευῇ τοὺς ξενίους δημοσιογράφους ἐξαπατᾶν, εἶπε γὰρ ὅτι ἡ τῆς ἐπιδημίας αἰτία ἁμάρτημα ἦν τῆς καταμηνύσεως συλλογῆς, ἀλλὰ οὐκ ἔλαθε ψευδόμενος, αἱ γὰρ ἑσπέριαι ἐφημερίδες πολὺ πλείονα περὶ τοῦ πραγμάτος ἐξ ἀρχῆς ἔλεγον ἢ αἱ Σινικαὶ ἐφημερίδες αὐταί, ὁ οὖν πρωθυπουργὸς οὐ λανθάνει πειρώμενος τὸ τὴν καταμήνυσιν κατέχειν κρῦψαι.*

*ἐν μὲν τῇ οἰκουμένῃ ἤδη διακόσιοι ἄνθρωποι ἀπέθανον καὶ τρισχίλιοι καὶ ἐνακόσιοι λοιμώσσουσιν, ἐν δὲ τῇ Σίνῃ ἑβδομήκοντα καὶ ἐννέα ἀπέθανον καὶ δισχίλιοι καὶ εἷς λοιμώσσουσιν. ἡ δὲ Σινικὴ ἀρχὴ βεβούλευκε τὴν σχολὴν τὴν τῇ πρώτῃ Μαίου ἀρξομένην ἀπειπεῖν ἵνα οἱ ἐργάται τὴν νόσον μὴ διὰ τῆς χώρας πορευόμενοι διασπείρωσιν.*

**Geology experts investigate possible crater in Missouri**
(24-04-03)

*<u>Οἱ γεόλογοι δυνατὸν κρατῆρα ἐν τῷ Μισσοῦρι ἐξετάζουσιν</u>*

*Οἱ γεόλογοι νομίζουσιν αὐτοὶ μέγαν κρατῆρα ὑπὸ μετεωρολίθου πεποιημένον εὑρηκέναι, ἴσως δὲ οὗτος τις τῶν μεγίστων ἐν ταῖς ΗΑΠ κρατήρων ἐστίν· μέγας γὰρ λίθος τετρακοσίων μέτρων τὸ διάμετρον εἰς τὸ Μισσοῦρι ἤδη τριακοσιοστὸν καὶ πεντηκοστὸν ἔτος κατέπεσεν, τοῦτον δὲ τὸν κρατῆρα ἐποίησεν. ὁ οὖν Κέβιν Ἔβανς, ὃς εἰς τὸ τοῦ Μισσοῦρι πανεπιστήμιον ἀνήκει, νομίζει τοῦτο ἀληθῆ κρατῆρα εἶναι, αὕτη γὰρ ἡ θεωρία τὴν ἐν τῷ τόπῳ γένεσιν λίθων χαλαζίαν ἐχόντων ἂν ἐπιλύσαι.*

*οἱ μὲν γεόλογοι ἀεὶ ἠρώτων διὰ τί οἱ ἐκεῖ λίθοι σφαιρικοί εἰσιν, νῦν δὲ τὴν ἀπόκρισιν ἴσμεν· οἱ λίθοι, ὑπὸ τῆς συρρήξεως τηκτοί, πρὸς τὸν οὐρανὸν ἐβλήθησαν καὶ σφαῖραι τὸ εἶδος ἔπηξαν πρὶν πρὸς τὴν γῆν πάλιν πίπτειν.*

**Four teams remain for the European Football Champions' Cup**

(25-04-03)

<u>Τέτταρες ὁμάδες μένουσιν ἐν τῷ Ποδοσφαιριστικῷ Εὐρωπαϊκῷ Πρωταθλήματι</u>

*Ἤδη μόναι τέτταρες ὁμάδες μένονται· τὸ Ῥεὰλ Μαδρὶδ (τῆς Ἰσπανίας) καὶ τὸ Ἰουβέντους καὶ τὸ Μίλαν καὶ τὸ Ἴντερ (τὰ δὴ τρία τῆς Ἰταλίας).*

*τὸ δὲ Ρ. Μαδρὶδ τὸ Μάνζεστερ Οὐνίτεδ ἀφείλετο, ἐν μὲν γὰρ τῷ Μαδρὶδ ἡ οἰκεῖα ὁμὰς τρία-ἕν ἐνενικήκει, ἐν δὲ τῷ Μάνζεστερ οἱ Ἄγγλιοι τέτταρα-τρία ἐνίκησαν· ὁ μὲν Ῥωνάλδω τὰ τρία Ἰσπανικὰ τέρματα ἐκτήσατο, δύο δὲ ὁ Βέκκαμ. τοῦ ἀγῶνος βελτίστου ὄντος, οἱ Ἀγγλικοὶ θεαταὶ μάλιστα ἀθλητικῶς ἔπραξαν.*

*τὸ δὲ Ἰουβέντους τὸ Βαρθελώνα ἀφείλετο· καίπερ ἐν τῷ Τουρὶν ἕν-ἕν ἰσοφαρίσαν, τὸ Βαρθελώνα οἴκοι ἕν-δύο ἡλαττώθη. ὁ μὲν Κλουίβερτ παρῆν καὶ τοῦτο λέγειν τὸ αὐτό ἐστιν ἢ λέγειν ὅτι ἐν τῷ Βαρθελώνα μόνον δέκα ἀγωνισταὶ παρῆσαν, ἐπεὶ δὲ ὁ Ῥικέλμη καὶ παρῆν τότε μόνον ἐννέα ἠγωνίσαντο· φανερώτερον δὴ τοῦτο λέγειν πῶς ἔξεστι; οὗτοι δὴ δύο οὐ λανθάνουσιν οὐ πονοῦντες.*

*δεῖ οὖν νῦν τὸ Ρ. Μαδρὶδ καὶ τὸ Ἰουβέντους ἀγωνίζειν, τὸ δὲ νικὸν τῷ Μίλαν ἢ τῷ Ἴντερ ἀγωνίσεται, τὸ μὲν γὰρ Μίλαν τὸ Αἴαξ τῷ ἐσχάτῳ λεπτῷ ἀφείλετο, τὸ δὲ Ἴντερ ἐν τῇ Βαλενθίᾳ ἡλαττώθη ἀλλὰ τὴν οἰκεῖαν ὁμάδα ἀφείλετο ἓν τέρμα ἐκεῖ κτήσαν (ἐν γὰρ τῇ Ἰταλίᾳ ἐνενικήκει). ἐκ μὴν τῶν τεττάρων ὁμάδων τρία Ἰταλικαί εἰσιν, καὶ δὴ καὶ τό τε Ἴντερ καὶ τὸ Μίλαν ἐν τῇ αὐτῇ πόλει οἰκοῦσιν, ἡ οὖν ἅμιλλα μεγίστη ἐστίν.*

*εἰ γὰρ οἱ θεοὶ τὴν νίκην τῷ βελτίστῳ δοῖεν.*

**Judge in LA rejects closure of music-swap Internet sites**
(27-04-03)

<u>Κριτὴς τις ἐν Τοῖς Ἀγγέλοις ἀναίνεται θέσεις ἐν τῷ Ἰντερδικτύῳ μουσικὴν μεταλλαττούσας κλείειν</u>

*Αἱ μὲν μουσικαί τε καὶ κινηματογραφικαὶ ἐπιχειρήσεις τὸν δικαστὴν ᾔτησαν τὰς δύο θέσεις Γρόκστην τε καὶ Μορφέα κλεῖσαι διότι οἱ τῆς μουσικῆς φίλοι αὐτοῖς χρῶνται ἵνα τὴν μουσικὴν παρὰ τὸν νόμον κτῶνται, ὁ δὲ Στέφανος Οὐίλσων, κριτὴς ἐν Τῶν Ἀγγέλων δήμῳ, ἔκρινε τὰς δύο θέσεις κλεισθῆναι οὐκ ὀφείλειν ὡς τοῦτο ἐξ αὐτῶν μεταλλαττόμενον κατέχειν οὐ δυναμένας.*

*αἱ μὴν ἐπιχειρήσεις λέγουσιν ὅτι αὕτη ἡ πρᾶξις τὰς πωλήσεις μιθύνει· καὶ δὴ καὶ οἱ δικασταὶ εἰς τὸ νῦν ἀεὶ ὑπὲρ τῶν ἐπιχειρέσεων ἐδίκαζον, αὐτίκα δὴ ἐν τῷ Νάψτηρ πράγματι, ταύτην γὰρ τὴν θέσιν κλεῖσθαι ἠνάγκασαν.*

**USA and Iraqis point fingers after fatal blast**
(27-04-03b)

<u>Αἱ ΗΑΠ καὶ οἱ Ἰράκιοι μετὰ τὸν θανατοποιὸν ἀνατιναγμὸν ἀλλήλους αἰτιῶνται</u>

*Χθὲς ἐν δήμῳ τινὶ τοῦ Βαγδὰδ μεγάλη σκευοθήκη ἐν ᾗ ὅπλα ὑπὸ τῶν Ἀμερικανῶν ἑλομένα ἔκειτο ἀνετινάχθη, τῷ δὲ ἀνατιναγμῷ περὶ πεντεκαίδεκα πολίται ἀπέθανον. οὐ μόνον δὴ εἷς ἀνατιναγμὸς ἦν, ἀλλὰ πολλοὶ ἐγένοντο· τοῦ γὰρ πρώτου ἀνατιναγμοῦ πρῴ γενομένου, οὐ πολλῷ ὕστερον ὁ δεύτερος ἐξέβη, πάλιν δὲ περὶ ὀκτὼ ὥρας ἄλλοι ἀνατιναγμοὶ ἐκ διαδοχῆς ἔτυχον.*

*ἡ δὲ αἰτία ἔτι καὶ νῦν ἄγνωστος μένει, οἱ μὲν γὰρ Ἀμερικανοὶ διαβεβαιοῦνται ὅτι τρομοκρατικὴ*

*προσβολὴ ἡ αἰτία ἐστίν, οἱ δὲ Ἰράκιοι φασὶ τὴν αἰτίαν ἀμέλειαν τῶν Ἀμερικανῶν τεχνικῶν εἶναι, καὶ δὴ καὶ οἱ Ἰράκιοι μέμφονται τοὺς Ἀμερικανοὺς τὴν σκευοθήκην πλησιώτερον τῶν οἰκῶν θεῖναι.*

*ἅμα δὲ ὁ στρατηγὸς Γάρνηρ τοῖς Ἰρακίοις διὰ τῆς τηλεοράσεως εἶπεν ὅτι δυοῖν ἢ τριῶν ἑβδομάδων ἡ ὕδατος τε καὶ ἠλεκτρισμοῦ φορτηγία αὖθις ἐν τῇ πόλει πάσῃ ἀνορθωθήσοιτο, διεβεβαιώσατο δὲ καὶ ὅτι αὐτὸς ἐν τῷ Ἰρὰκ ὀλίγον χρόνον μενοίη καὶ ὅτι οἱ Ἰράκιοι ἐλευθερῶς τὴν ἀρχὴν ἣν ἂν βούλωνται ἐκλέγειν σχήσοιντο.*

**Documents show France possibly briefed Iraq on USA plans**
(29-04-03)

*<u>Γράμματά τινα δείκνυται ὅτι ἡ Γαλλία ἴσως τῷ Ἰρὰκ περὶ τῶν Ἀμερικανῶν βουλευμάτων ἤγγειλεν</u>*
*(Καίπερ οὐδέπω σαφὴς οὖσα, αὕτη ἡ ἀγγελία ὑπὸ τοῦ Φὼξ Νέων ἠγγέλθη.)*
*Κατὰ γράμματά τινα ἐν τῷ Ἰρακίῳ τῶν Ἐξωτερικῶν Ὑπουργείῳ εὑρημένα, σύστασίς τις ἐν τούτοις τοῖς γράμμασι "φίλοι τοῦ Ἰρὰκ" κεκλημένη καὶ εἰς τὸ Γάλλον τῶν Ἐξωτερικῶν Ὑπουργεῖον ἀνήκουσα τῷ Ἰρὰκ περὶ τῶν Γαλλοαμερικανῶν συνεδρίων διὰ τῶν ἐσχάτων μηνῶν ἤγγελλεν ἵνα οἱ Ἰράκιοι ὅ τι γενέσθαι μέλλοι εἰδείησαν.*

*ἄλλα δέ τινα γράμματα δείκνυσι καὶ τὴν Γαλλίαν τυρβαζομένην ὅτι αἱ ΗΑΠ τῷ Ἰρὰκ προσβαλεῖν μέλλοιεν· ταῦτα δὴ τὰ γράμματα "Γαλλία ,βα' " σεσημασμένη ἐστίν.*

*ἄλλο δέ τι γράμμα τὸ τοῦ τε Οὐβὲρτ Βεδρίνη, ὑπουργοῦ Γάλλου τῶν Ἐξωτερικῶν τὸ πρόσθεν, καὶ τοῦ Κώλιν Πώουελ συνέδριον, ἐν ᾧ οἱ Ἀμερικανοὶ τοῖς Ῥωσικοῖς αἰτήσεις περὶ τοῦ Ἰρὰκ ἔθεσαν, ἀκριβῶς ἐξηγεῖται.*

*ἄλλο δέ τι γράμμα τὸ Ἰρὰκ ὑπομιμνήσκει τὰς ΗΑΠ πειρώσας τὸν Σαδδὰμ Οὐσσεὶν τῇ τρομοκρατίᾳ προστιθέναι καὶ οὕτως πρόφασιν διδόναι ἵνα τῷ Ἰρὰκ προσβάλωσιν.*

*ὅμως μὲν ἡ στρατηγικὴ Ἀμερικανὴ ἀρχὴ λέγει ὅτι οὔπω περὶ τούτου δοξάζειν ἔχει ἅτε ταῦτα τὰ γράμματα οὐδέπω ἀναγνοῦσα, τήμερον δὲ αἱ Φὼξ Νέαι οὐκέτι περὶ τούτου ἐν τῷ Ἰντερδικτύῳ γράφουσιν· πότερον οὖν ταῦτα ψευδῆ ἐστιν ἢ οὔ, σαφῶς εἰδέναι οὐκ ἔξεστιν.*

**Around 500.000 executed during Saddam's dictatorship**
(07-05-03)

*<u>Πεντακόσιαι χιλιάδες διὰ τῆς τοῦ Σαδδὰμ Οὐσσεῖν δικτατωρείας ἀπέθανον</u>*
*Πολλαὶ αὐτόνομοι συστάσεις νομίζουσιν ὅτι πεντακόσιαι χιλιάδες ἀνθρώπων διὰ τῆς τοῦ Σαδδὰμ Οὐσσεῖν δικτατωρείας ἀπέθανον· οὗτος δὴ ὁ ἀριθμὸς σημαίνει ὅτι πεντεκαίδεκα χιλιάδες κατ' ἐνιαυτὸν οὕτως ἀπώλοντο.*

*τοῦ γὰρ πολέμου τέλος λαβόντος, πολλὰ δημόσια οἰκοδομήματα ὑπὸ τῶν πολιτῶν τιμωρίαν ζητούντων λελησμένοι εἰσίν, πολλὰ δὲ γράμματα νῦν ἀκριβῶς τὴν τοῦ Σαδδὰμ καθαίρεσιν δείκνυσι, πολλοὶ γὰρ πολῖται ἀδίκως ἀπήχθησαν· ἐκ δὲ τούτων ἔνιοι μὲν εὐθὺς ἀπέθανον, ἔνιοι δὲ ἐν δεσμωτηρίῳ πολλὰ ἔτη ἔμενον πρὶν ἀποθνήσκειν, ὀλίγοι δὲ ἔτι καὶ νῦν ζῶσιν. οἱ μὲν πλεῖστοι ἐν τῷ πανεπιστημίῳ, ἄλλοι δὲ ἔτι ἐν τῷ διδασκαλείῳ μανθάνοντες ἀπήχθησαν.*

*νῦν οὖν πεντήκοντα ἐπιστήμονες καθ' ἡμέραν πονοῦσιν ἵνα πάντα τὰ γράμματα καθ' ἕκαστον*

*ἐξετάσωσιν, ὁσημέραι δὲ τὰ τῶν δεσμώτων ὀνόματα ὧν τὴν μοῖραν ἤδη ἴσασιν δημοσίᾳ ἀναγιγνώσκουσιν, κατάλογον δὲ τὰ τούτων ὀνόματα ἔχοντα ἐπὶ τοίχου κρεμμανύασι· συνεχῶς δὲ κρύφιοι τάφοι πολλὰ πολιτικῶν δεσμώτων σώματα στέγοντες εὑρίσκονται.*

**India tests its new missile Astra**
(10-05-03)

*Ἡ Ἰνδία τὸν νέον πύραυλον "Ἀστρα πειρᾷ*

*Ἡ Ἰνδία ἐπείρασε τῇ Παρασκευῇ τὸν νέον πύραυλον, "Ἀστρα ὀνόματι, ἐν γὰρ τῇ Σανσκριτῇ γλώττῃ οὗτος ὁ λόγος ὅπλον σημαίνει· τούτῳ δὴ τῷ πυραύλῳ τετταράκοντα χιλιομέτρων φορὰν ἔχοντι πειρᾷ ἡ Ἰνδία τὴν ἑαυτῆς σκευοθήκην ἐπὶ τὸ βέλτιον τρέπειν.*

*αὕτη δὲ ἡ πεῖρα τὴν τῆς τε Ἰνδίας καὶ τοῦ Πακιστὰν ἔντασιν αὐξάνει, αἱ γὰρ δύο χῶραι ἀτομικὰ ὅπλα ἔχουσαι ἤδη τρὶς πρὸς ἀλλήλας ἐπολέμησαν ἐξ ὅτου ἀπεστάθησαν, καὶ δὴ καὶ ἡ διεθνὴς διπλωματία πέρυσι αὕτας τὰς δύο χώρας ἀπὸ τοῦ αὖθις πολεμεῖν ἐκώλυσεν.*

*ἐὰν γὰρ ἡ Ἰνδία νέον ὅπλον πειρᾷ, τὸ Πακιστὰν τὴν αὐτὴν πεῖραν τῇ ὑστεραίᾳ ἐργάζεται ἵνα δείξῃ ἑαυτὸ τὴν αὐτὴν δύναμιν ἔχον, ἀλλὰ οὐ λανθάνει ἡ Ἰνδία ἀεὶ τῆς ἁμίλλης ἄρχουσα. τεκμήριον δὴ τῆς Ἰνδικῆς φιλονείκης στάσεως τόδε ἐστίν· τὸ μὲν Πακιστὰν τῇ Ἰνδίᾳ τὰς ἀτομικὰς σκευοθήκας ἀπολέσαι παρέσχεν, αὕτη δὲ ἡ χώρα τὴν προσφορὰν γελοίᾳ προφάσει ἀπεδοκίμασεν. ἡ περὶ Κατσεμίρας ἅμιλλα ἀρχικὴ τῆς ἔχθρας αἰτία ἐστίν.*

*ὁ δεύτερος τῶν ΗΑΠ ὑφυπουργὸς Ῥίτσαρδ Ἀρμιτὰγ εἰς τὴν Νέαν Δέλι ὀλίγον χρόνον μετὰ τὴν χθεσινὴν πεῖραν ἀφιγμένος τὴν ἔντασιν ἐλαττοῦν πειράσει.*

**Amputee climber out of hospital**
(11-05-03)

*Ὁ αὐταποτεμὼν ὑπερβαίνων ἐκ τοῦ νοσοκομείου ἐξέρχεται*

*Ὁ Ἀρὸν Ῥάλστων, ἑπτὰ καὶ εἴκοσι ἔτη γεγονώς, ἱλαρὸς ἦν ὅτε ἐκ τοῦ νοσοκομείου ἐξῆλθεν, ἀλλὰ ὁ τῆς συγγενείας φερέφωνος οὐκ εἶπεν ὅποι ἔπειτα ἔλθοι ὁ ὑπερβαίνων.*

*ὁ δὴ Ῥάλστων ἔνδοξός τε καὶ περιβόητος ἐγένετο τὸν ἑαυτοῦ πῆχυν ἀποτεμὼν ἵνα μὴ ἀποθάνοι, οὗτος μὲν γὰρ ὁ ἀθλητὴς ὄρος τι ἐν τῇ Ἰούτῃ (ΗΑΠ) μόνος ὑπερέβαινεν, πέτρα δὲ μεγίστη ἐπ' αὐτὸν ἔπεσεν· ἡ μὲν πέτρα τὸν πῆχυν κατεῖχεν, ὁ δὲ Ῥάλστων λύεσθαι οὐχ οἷός τ' ἦν, ἡ γὰρ πέτρα βαρυτάτη ἦν καὶ οὐ δυνατὸν ἦν αὐτὴν κινεῖν· ἅτε μόνος ὤν, ὁ ὑπερβαίνων οὕτως πέντε ἡμέρας ἔμεινεν ἕως ἐβούλευσεν αὐτὸς τὸν πῆχυν ἀποτέμνειν, αὐτῷ γὰρ μάχαιρα ἦν. ἡ γὰρ ἐκλογὴ ἥδε ἦν· τοῦτο ἐργάσαι ἢ ἀποθάνε. ἀλλὰ οὐ μόνον τοῦτο ἔπραξεν ὁ Ῥάλστων, μετὰ γὰρ ταῦτα ἔδει ἐκ τοῦ ὄρους κατανίσσεσθαι καὶ ἔτι δέκα χιλιομέτρα βαίνειν ἕως ἄλλους ἀνθρώπους ἴδοι.*

*νῦν δὲ λέγει ὁ Ῥάλστων ὅτι πάλιν ὄρη ὑπερβαίνειν βούλεται, καίπερ τοῦτο παθών.*

**Cleveland university gunman in custody**
(12-05-03)

*Ὁ ἐν τῷ τοῦ Κλίβλαντος πανεπιστημίῳ πυροβολήσας ἐν φυλακῇ ἐστιν*

*Εἷς ἄνθρωπος ἀπέθανε χθὲς καὶ τρεῖς ἄλλοι ἐτρώθησαν ἐν τῷ Ὀχαίῳ (ΗΑΠ) ἐπειδὴ νεανίας τις εἰς τὸ*

*πανεπιστήμιον εἰσελθὼν εἰκῆ ἐπυροβόλησεν· δοκεῖ δὴ τὸν πυροβολοῦντα πρόσθεν μαθητὴν ἐκεῖ εἶναι καὶ τὸ πανεπιστήμιον γραφὴν γρᾶψαι.*

*πολλοὶ μὴν ἄνθρωποι ἐν τῷ οἰκοδομήματι παρῆσαν ὅτε ὁ νεανίας δύο τε πιστόλια καὶ κόρυν ἔχων τῆς προσβολῆς ἤρξατο· οἱ μὲν φύλακες πυροβολοῦντες δὶς αὐτοῦ ἐπέτυχον, ὁ δὲ ἐκρύψατο καὶ τῷ πυροβολεῖν ἐνεκαρτέρησεν· ὅμως δὲ χαλεπὸν ἦν αὐτὸν λαβεῖν διὰ τῆς τοῦ οἰκοδομήματος μορφήν, αἱ γὰρ δίοδοι καμπύλαι εἰσίν. τοῦ δὲ νεανίου διὰ τῶν διόδων βαίνοντος, ἔνιοι τε μαθηταὶ καὶ διδάσκαλοι ἐν ταῖς κέλλαις ἐκρύψαντο, ἄλλοι δὲ ὑπὸ τῶν φυλάκων ἀπεσώθησαν, ἄλλοι δὲ αὐτοὶ ἐξέφυγον.*

*αὕτη δὴ ἡ συμφορὰ ἑπτὰ ὥρας παρέμεινεν, ἕως οἱ φύλακες αὐτὸν κατέσχον.*

**Milan and Juve to play European Champions' Final**
(14-05-03)

<u>Τὸ Μίλαν καὶ τὸ Ἰουβέντους ἐν τῷ Εὐρωπαϊκῷ Τελικῷ ἀγωνίσονται</u>
Τὸ Ἰουβέντους (Τουρὶν) καὶ τὸ Μίλαν, δύο δὴ Ἰταλικαὶ ὁμάδες, εἰς τὸ τοῦ Ποδοσφαιριστικοῦ Εὐρωπαϊκοῦ Πρωταθλήματος τελικὸν ἀφίκοντο· ὁ οὖν νέος Εὐρωπαϊκὸς προστάτης Ἰταλικὸς ἔσται.

*χθὲς μὲν τὸ Μίλαν τὸ Ἴντερ ἀφείλετο· ἄμφω δὴ ὁμάδες οἷα ἐν τῇ πόλει Μίλαν οἰκοῦσαι ἐν τῷ αὐτῷ σταδίῳ ἀγωνίζονται· τὸ μὲν τοῦ πρώτου ἀγῶνος ἀποτέλεσμα οὐδὲν-οὐδὲν ἐγένετο, ἐν δὲ τῷ δευτέρῳ ἀγῶνι πάλιν ἰσοφάρισαν, ἑκάστη γὰρ ὁμὰς ἑνὸς τέρματος ἐπέτυχεν, ἀλλὰ τὸ Μίλαν τὴν μάχην ἐνίκησε διότι τὸ ἑαυτοῦ τέρμα τοῦ διπλοῦ ἐτιμήθη (ἐνομίσθη γὰρ τὸ Μίλαν ἐν τῷ δευτέρῳ ἀγῶνι ξένη ὁμὰς εἶναι).*

*τήμερον δὲ τὸ Ἰουβέντους τὸ Ῥεὰλ Μαδρὶδ τρία-ἓν ἐνίκησεν, ἡ οὖν Ἰταλικὰ ὁμὰς τὴν Ἰσπανικὰν ὁμάδα ἀφείλετο, ἐν γὰρ τῷ Μαδρίδ ἡ τοπικὴ ὁμὰς δύο-ἓν ἐνενικήκει.*

*τῇ δὲ Κυριακῇ ἡ Βαρκελώνη τὸ Βένεττον νικήσασα ἐν τῷ Καλαθοσφαιριστικῷ Εὐρωπαϊκῷ Πρωταθλήματι ἐκράτησεν.*

**Putin promises to transform Russia into world power**
(16-05-03)

<u>Ὁ Πύτιν τὴν Ῥωσίαν εἰς παγκόσμιον δύναμιν μεταστήσειν ὑπισχνεῖται</u>
Ὁ τῆς Ῥωσίας πρόεδρος Βλαδιμὶρ Ποῦτιν εἶπε τῇ Παρασκευῇ ὅτι τὰς τὴν χώραν βλαπτούσας κρίσεις ἐξαλείψοι, βούλεται γὰρ τὴν Ῥωσίαν οἰκονομικὴν δύναμιν γίγνεσθαι (ὅπως δὲ οὐκ ἔφη).

*ἐν δὲ τῷ περὶ τῆς ἐν τῇ Ῥωσίᾳ καταστάσεως ἀγγέλματι ὑπίσχετο καὶ τὰς τρομοκρατικὰς προσβολὰς ἐν τῇ Τσετσενίᾳ κωλύσειν, ταύτῃ γὰρ τῇ ἑβδομάδι ἑβδομήκοντα ἄνθρωποι ἐκεῖ διὰ δύο τρομοκρατικὰς προσβολὰς ἀπέθανον, διὰ δὲ ταῦτα νόμον περὶ ἀμνηστίας ἐπήγαγε τοῖς τρομοκρατισταῖς οἳ ἂν τὸν πόλεμον πρὸ τοῦ Αὐγούστου παύσωσιν.*

*πέρυσιν δὲ ἡ Ῥωσικὴ ἀρχὴ οὐ τῶν ἐσωτεριαίων ἀποριῶν ἐπεμελήθη, τὸν γὰρ νοῦν ταῖς ἐν τε τῷ Ἰρὰκ καὶ ἐν τῷ Ἀφγανιστὰν κρίσεσιν προσέσχεν.*

*ὁ μὲν Ποῦτιν, πρὶν πρόεδρος γενέσθαι, ἐν τῷ ΚΓΒ ἠργάσατο, τὴν δὲ τῆς προτέρας Ἕνωσις*

*Σοβιετικῶν Κοινωνιστικῶν Δημοκρατιῶν (ΕΣΚΔ) δύναμιν πάλιν ἐπανελθεῖν ἐπιθυμεῖται· καὶ δὴ καὶ δεύτερον εἶναι οὐκ ἐθέλει (καὶ τότε οὐκ ἤθελεν), ὀνειροπολεῖ δὲ πρῶτος γίγνεσθαι· ὀνειροπολεῖ δή.*

**Bruce Springsteen conquers Barcelona again**
(20-05-03)

*<u>Ὁ Βροῦθε Σπρίγγστην τὴν Βαρκελώνην αὖθις καταλαμβάνει</u>*

*Ἀπέραντος ἀνθρώπων ποταμὸς τῷ Σαββάτῳ εἰς τὸ τῆς Βαρκελώνης Ὀλυμπικὸν Στάδιον βραδέως ἔρρει· τίς δ' ἡ αἰτία; ὁ Βροῦθε Σπρίγγστην αὖθις ἐν τῇ τῆς Καταλωνίας πρωτευούσῃ ἦδε, ἀλλὰ οὐ τὸ πρῶτον, ὁ γὰρ "Βῶσς" ἤδη ἐν τῇ Βαρκελώνῃ τὰ πρόσθεν ἑνδεκάκις ἥκει. οὗτος μὴν ἐν ταύτῃ τῇ πόλει παρεῖναι μάλιστα φιλεῖ.*

*τῆς δὲ γυναικὸς αὐτοῦ Πάττι Σκιάλφη αὖθις τῷ ὁμάδι συνστάσης, ὁ Βῶσς, ἤδη πεντήκοντα καὶ τρία ἔτη γεγονώς, τρεῖς ὥρας ᾖσε θεαταῖς πεντήκοντα καὶ πέντε χίλιοις, οἳ τὸν ἀοιδὸν συνεχῶς ἐπῄνεον· οὐ μὴν ἀλλὰ ὁπότε ὁ Βῶσς τὴν ἑορτὴν τελευτᾶν βούλοιτο, οἱ θεαταὶ πλείονα μέλη ᾔτουν. ἄρα τί δὴ ᾖσεν ὁ ἀστήρ; "ἄσιτος καρδία" καὶ "κενὸς οὐρανὸς" καὶ ἄλλα περιβόητα μέλη, ὅμως δὲ τὸ βέλτιστον ἐν τῷ τελειώματι (ἐντολικὸν γάρ ἐστιν) ἐγένετο, ὅτε "ἐν τῷ σκότει χορεύων" ᾖσεν, τότε γὰρ πάντες οἱ θεαταὶ ἐμάνησαν.*

*ὁ μὲν Βῶσς, ἐν τούτῳ γε τῷ καιρῷ περὶ πολιτικῆς τεχνῆς οὐδὲν λέγων, τόδε ἔδρασεν ὃ κάλλιστα δρᾶν ἔχει, τὸ ᾄδειν. ἐγὼ δὲ ἐν μὲν τῇ τοῦ Παῦλ ΜκΚάρτνει ἐνθάδε ἐν τῇ βαρκελώνῃ ἑορτῇ παρῆν, ἐν δὲ ταύτῃ οὐ παρῆν, οὐ γὰρ σχολὴ ἦν μοι, διὰ δὲ τοῦτο τὰς δύο ἑορτὰς εἰκάζειν καὶ τίς ἀμείνων ἐγένετο κρίνειν οὐκ ἔχω.*

**Most countries agree in fight against smoking**
(22-05-03)

*<u>Αἱ πλεῖσται χῶραι τὴν ἐπὶ τὸ καπνίζειν μάχην διαγιγνώσκουσιν</u>*

*Πλείονες ἢ ἑκατὸν καὶ ἐνενήκοντα χῶραι χθὲς γράμματα ἔγραψαν ἵνα τὸ καπνίζειν μιθύνοιεν, τοῦτο γὰρ τὸ κακὸν ἔθος κατ' ἐνιαυτὸν πέντε ἑκατομμύρια ἀνθρώπων ἀποκτείνει· οὐ μόνον δὲ ἀλλὰ τὴν δημοσιότητα καὶ ἀπαγορεύειν βούλονται.*

*ἡ δὲ τὴν παγκόσμιον τῆς ὑγιείας ἐκκλησίαν ἡγεμονεύουσα εἶπεν ὅτι αὗται αἱ χῶραι ἐπιμελοῖντο ὅπως πολλοὺς ἀνθρώπους εἴτε καπνίζοντας εἴτε μὴ καπνίζοντας σῴσοιεν καὶ τὴν κοινὴν ὑγίειαν σκεπάσοιεν.*

*οἱ δὲ τὰ γράμματα γράψαντες βούλονται τήν τε δημοσιότητα μιθύνειν καὶ τὴν παρὰ τὸν νόμον πώλησιν κωλύειν, οὐχ ἥκιστα δὲ τοὺς νεανίας τοῦ καπνίζειν παύειν, οὐ γὰρ λανθάνει ταῦτα τὰ ἁπαλὰ θάλη νομίζοντα οὐκέτι παῖδες εἶναι ἐὰν καπνίζωνται· καὶ δὴ καὶ ᾔσθοντο μὲν πάλαι οἱ ἰατροὶ τοὺς μὴ καπνίζοντας καὶ τὸν καπνὸν ἀναπνέοντας καίπερ μὴ βουλομένους, λέγουσιν δὲ ὅτι οὐ πάνυ τι τοῦτο συμβαίνειν δεῖ.*

**General Tommy Franks goes into retirement**
(25-05-03)

*<u>Ὁ στρατηγὸς Τόμμι Φρὰνξ εἰς ἀπραγμοσύνην ἀπέρχεται</u>*

*Ὁ Τόμμι Φρὰνξ ἄσχολός τε καὶ δραστήριος στρατηγὸς ἀεὶ ἦν· τῇ γὰρ μάχῃ γεγονώς, ἐν ἐργαστηρίῳ*

*τινὶ ἐργάζεσθαι οὐ βούλεται οὐδαμῶς, διὰ δὲ ταῦτα τὴν περὶ τοῦ τοῦ Πενταγώνου προστατεύειν προβολὴν ἄρτι ἀπεδοκίμασεν.*

*τριάκοντα μὲν καὶ ἓξ ἔτη ἐν τῷ Ἀμερικανῷ στρατεύματι μεμένηκεν, τοῖς δὲ στρατιώταις θοὰς νίκας παρέσχηκεν ἔν τε τῷ Ἀφγανιστὰν καὶ τῷ Ἰράκ μαχομένοις, νῦν οὖν ἐν τῇ ἀκμῇ ἐστιν· ὁ δὲ στρατηγὸς Ῥάνδαλ Ῥίγβι, φίλος αὐτοῦ, "τίς δὲ βούλεται διοικητὴς γενέσθαι", ἔφη, "πολλὰ ἔτη πολεμιστοῦ γενομένου;" τὸ μὲν πρόσταγμα αὐτοῦ ἐν τῷ Ἰουλίῳ τελευτὴν σχήσει, ὁ δὲ στρατηγὸς Ἰωάννης Ἀβιθαϊδ κατὰ τὸ εἰκὸς διάδοχος ἔσται.*

*ὁ δὲ Νώρμαν Σβάρζκοπφ, μετὰ τὸ πράγμα " ἐρημίας θύελλαν" τὸ Κουβαϊτ ἐλευθερώσας, καὶ εἰς ἀπραγμοσύνην ἀπῆλθεν, νῦν δὲ βίβλους γράφει καὶ εἰς λόγους ἔρχεται, δῆλος δέ ἐστιν ὁ Τόμμι Φρὰνξ τὸ αὐτὸ πράττειν ἐθέλων.*

*ἐν μὲν τῷ τοῦ Ἰρὰκ πολέμου ὁ Τόμμι Φρὰνξ καὶ ὁ Δώναλδ Ῥουμσφελδ περὶ τῆς πολεμικῆς μεθοδολογίας ᾗ χρᾶσθαι ὤφελλον οὐχ ὡμολόγουν, τέλος δὲ ὡμολόγησαν καὶ ὁ Τόμμι Φρὰνξ τὸ Βαγδὰδ κατέλαβεν· τὴν οὖν πρωτενούσαν ὡς τάχιστα καταλαβόμενος, ὁ Τόμμι Φρὰνξ πολλούς τε Ἰρακίους πολίτας καὶ στρατιώτας ἔσωσεν.*

*ἐν μὲν τῷ Βιετνὰμ ὁ Τόμμι Φρὰνξ τρὶς ἐτρώθη, ἔπειτα δὲ ἐν τῇ Γερμανίᾳ καὶ τῇ Κωρέᾳ παρῆν καὶ τῷ τοῦ Κόλπου Πολέμῳ.*

**Rugby: Toulouse wins European Final against USAP**
(25-05-03b)

*Ῥοῦγβι· ἡ Τουλούση τὸ Εὐρωπαϊκὸν Τελικὸν ἐπὶ τὸ ΥΣΑΠ νικᾷ*
*Ἡ Τουλούση τὸ Εὐρωπαϊκὸν Τελικὸν χθὲς ἐν τῷ Δουβλὶν ἐπὶ τὸ ΥΣΑΠ ἀγωνιζομένη ἐνίκησεν· ἐν μὲν τῷ ἀγῶνι δύο ἑτεροῖα μέρη ἦν, ἑκατέρη δὲ ὁμὰς ἑνὸς ἐκράτησεν, ἡ μὲν Τουλούση τοῦ πρώτου, τὸ δὲ ΥΣΑΠ τοῦ δευτέρου.*

*οἱ μὲν Καταλανοὶ ἀκόλουθοι τὰς τοῦ Δουβλὶν ἀγυίας κατέλαβον, τοῦτο δὲ καὶ οἱ τῆς Τουλούσης ἀκόλουθοι ἐποίησαν· ἀμφότεροι δὲ ὅμιλοι ἀλλήλοις ἐμίγησαν καὶ φιλίως διελέχθησάν τε καὶ ἔπαισαν, τὸ δὲ αὐτὸ ἐν τῷ ἀερολιμένι ἐγένετο ὅτε μετὰ τὸν ἀγῶνα ἐκεῖ συνέτυχον· τὸ γὰρ ῥοῦγβι οὐ ποδόσφαιρόν ἐστιν.*

*τοῦ δὴ ἀγῶνος ἀρχομένου, τὸ μὲν ΥΣΑΠ ἅτε ἔνια ἁμαρτήματα πραξαμένη οὐδεμίας βαθμοῦ ἐπέτυχεν, τοὔμπαλιν δὲ ἥ τε τύχη καὶ ὁ ἄνεμος τῇ Τουλούσῃ ἐβοήθησαν καὶ οὕτως ἐννεακαίδεκα βαθμοὺς ἐπέτυχεν· ἀλλὰ μετὰ τὴν ἀνάπαυσιν ἐβουλεύσαντο μὲν οἱ τοῦ ΥΣΑΠ ἀγωνισταὶ τὴν τακτικὴν διαλλάττειν καὶ ἐπὶ τὸ βέλτιον μάλα ἐχώρησαν καί μόνον οὐκ ἰσοφαρίσαντο, ὀψὲ δέ, οἱ γὰρ ἐννεακαίδεκα βαθμοὶ πολλοὶ ἦσαν· τὸ δὲ ἀποτέλεσμα ἑπτακαίδεκα - δύο καὶ εἴκοσι ἐγένετο, ἀλλὰ εἰ ὁ ἀγὼν δέκα πλείονα λεπτὰ ἐχρονίσατο, τὸ ΥΣΑΠ τῆς νίκης ἐπέτυχεν ἄν.*

*ὁ μὲν βραβεὺς διὰ τραῦμά τι ἐν τῇ κνήμῃ μετηλλάχθη, ἄμφω δέ, Ἀγγλικοί, εὖ τε καὶ ὀρθῶς ἐβράβευσαν.*

**New museum in Berlin for European History**
(28-05-03)

Νέον μουσαῖον ἐν τῷ Βερλὶν περὶ τῆς Εὐρωπαϊκῆς ἱστωρίας

*Μουσαῖόν τι περὶ τῆς Εὐρωπαϊκῆς ἱστωρίας ἐν τῷ Βερλὶν ἐνεκανίσθη, τὸ δὲ ὄνομα τῷ μουσαίῳ "ἡ τῆς Εὐρώπης ἰδέα· ἐπίνοιαι τῇ αἰωνίῃ εἰρήνῃ" ἐστίν· τὸ οὖν μουσαῖον οὐ μόνον περὶ τῆς πολιτικῆς ἱστωρίας ἀποδείκνυσι, ἀλλὰ καὶ περὶ τῆς τε παιδεύσεως καὶ τῆς ἐπιστήμης.*

*τοῦ γὰρ ἐν τῷ Ἰρὰκ πολέμου τὴν Εὐρώπην δίχα ἀποταμόντος, αὕτη ἡ ἀπόδειξις, ἐν τῷ τῆς ἁρπαγῆς μύθῳ ἀρχομένη καὶ εἰς τὴν νῦν Εὐρωπαϊκὴν Ἕνωσιν ἀφικνουμένη, πειρᾷ τὴν κοινὴν Εὐρωπαϊκὴν ἱστωρίαν διαρθροῦν· λόγοι δέ τινες τοῦ φιλοσόφου Βέρναρδ - Ἕνρι Λέβι τὴν ἀπόδειξιν ἀνοιγνύασι· "ἡ Εὐρώπη δὴ τόπος μὲν οὐκ ἐστιν, ἰδέα δέ".*

*ὅμως δέ, δῆλον ὅτι ἣ τὴν Εὐρώπην ἐξ ἀρχῆς ἑνῶσα μόνη κοινὴ ἀπειλή ἐστιν, καὶ δὴ νῦν· αὐτίκα δή, τὸ μουσαῖον τοὺς σταυρωτοὺς ἀποδείκνυσι τὸ πρῶτον πανευρωπαϊκὸν ἐπιχείρημα πράξαντας, μόνον γὰρ ἐν τοιοίσδε τοῖς καιροῖς ἡ Εὐρώπη συνέστη.*

**Milan wins Football European Cup**
(30-05-03)

Τὸ Μίλαν τὸ τοῦ Εὐρωπαϊκοῦ Ποδοσφαιρισμοῦ Κύπελλον νικᾷ

*Τό τε Μίλαν καὶ τὸ Ἰουβέντους ἐν τῷ Μάντσεστερ τῇ Τετάρτῃ ἠγωνίσαντο· ἄμφω μὲν ὁμάδες ἰσοφάρισαν οὐδένα βαθμὸν οὐδὲ ἐν τῇ ἀναβολῇ ποιησάμενοι· ἐν τοι τῇ ἀναβολῇ οὐδετέρα ὁμὰς εἰς κίνδυνον καθέστη, ἐφοβοῦντο γὰρ μὴ ἡ πολεμία ὁμὰς βαθμοῦ ἐπιτύχοι· αὕτη δὴ ἡ ἀναβολὴ ὀχληροτάτη ἐγένετο· τὸν δὲ νικῶντα μεγίστοις κολάσμασι αἱρεῖσθαι δέον, τὸ μὲν Μίλαν δύο ἥμαρτεν, τὸ δὲ Ἰουβέντους τρεῖς. τὸ οὖν Μίλαν τὸ τελικὸν ἐνίκησεν.*

*τὸ μὲν Ἰουβέντους τὸ Ἰταλιανὸν πρωτάθλημα ἄρτι ἐνενικήκει, νῦν δὲ τὸ Εὐρωπαϊκὸν Κύπελλον αἶρειν ἐβούλετο, ἀλλὰ τὸ διπλάσιον τρόπαιον ἐκφέρεσθαι οὐχ οἷόν τε ἦν· ὁ δὴ Ῥιβάλδω ἐν τῷ ἀγῶνι οὐ παρῆν, ὁ γὰρ τοῦ Ἰουβέντους προπονητὴς οὕτως ἔκρινεν· οὐδεὶς οἶδε διὰ τί.*

**Sir Edmund Hillary cheers 50 years on Everest**
(31-05-03)

Ὁ Ἔδμουνδ Ἵλλαρι τὰ πεντήκοντα ἐπὶ τῷ Ἐβερὲστ ἔτη ἑορτάζει

*Τῇ Πέμπτῃ οἵ τε σιέρπας καὶ ὁ Ἔδμουνδ Ἵλλαρι τὴν πρώτην ἀνάβασιν ἐπὶ τὸ Ἐβερὲστ ὄρος, ἀκρότατον τοι τοῦ κόσμου, ἑώρτασαν· τότε μὲν ὅ τε Ἵλλαρι καὶ ὁ Τένζιγγ Νόργαι ἐπὶ τῷ κορύμβῳ μόνον πεντεκαίδεκα λεπτὰ ἔμειναν, προχθὲς δὲ ὅ τε Ἵλλαρι καὶ οἱ σιέρπας τὸν Τένζιγγ Νόργαι, ἤδη ἑπτακαίδεκα ἔτη τεθνηκότα, ἐτίμησαν, ὁ δὲ υἱὸς αὐτοῦ ἐν τῇ ἑορτῇ παρῆν.*

*μετὰ δὲ τὴν ἀνάβασιν ὁ Ἵλλαρι πολλὰ ἔτη τοῖς σιέρπαις πολλὰ χρήματα ἀεὶ δέδωκεν ἵνα διδασκαλεῖά τε καὶ νοσοκομεῖα ἐν τῇ περὶ τοῦ Ἐβερὲστ ὄρους χώρᾳ οἰκοδομῶσιν, οἱ μὲν σιέρπας τὸν Ἵλλαρι ἀδελφόν νομίζουσιν, ὁ δὲ ἐκείνους.*

*ὁ δὲ τοῦ Τένζιγγ υἱὸς εἶπεν ὅτι ἐκείνη ἡ ἀνάβασις τότε σύμβολον γένοιτο τοῦ τῆς ἀνθρωπίνης ψυχῆς ἀεὶ προχωρούσης πόνου· ἀφ' οὗ μὲν τὴν πρώτην ἀνάβασιν ὅ τε Ἵλλαρι καὶ ὁ Νόργαι ἐποιήσαντο, σχεδὸν χίλιοι καὶ τριακόσιοι ἀναβαίνοντες εἰς τὸν κόρυμβον ἀφίκοντο, νῦν δὲ ἀρωγὰς ἔχουσιν ἃς τὰ πρόσθεν οὐκ εἶχον, αὐτίκα δὴ ἐμπείρους ἡγεμόνας καὶ βελτίονα ἐργαλεῖα. ὅμως δὲ ἡ ἀνάβασις ἔτι καὶ νῦν ἐπικίνδυνός ἐστιν, πολλάκις γὰρ ἀναβαίνοντές τινες ἀποθνήσκουσιν. τῆς γὰρ παρελθούσης ἑβδομάδος Ῥουμανικὴ ὁμὰς εἶπεν ὅτι πολλὰ ἀναβαινόντων σώματα ἴδοι οἳ εἰς τὸν κόρυμβον*

*ἀφικέσθαι πειρώμενοι ἐτεθνήκεσαν. ὁ δὲ Ἵλλαρι ἐμέμψατο ὅτι νῦν ἄπειροι ἀναβαίνοντες, ἐμπείρων σιερπῶν βοηθούντων, τὴν ἀνάβασιν ποιεῖσθαι δύνανται πολλὰ χρήματα ἀντιδιδόντες· οὗτοι οὖν οἱ ἀρχόμενοι νεοαναβαίνοντες τὸν μόχθον οὐκ αἰσθάνονται, ὃν ἐκεῖνοι ᾔσθοντο.*

*καὶ μὴν τὸ μέγιστον ἐρώτημα ἔτι καὶ νῦν τὸ αὐτὸ μένει· ἆρα ἀφίκοντο ὅ τε Μάλλορι καὶ ὁ Ἴρβιν πρῶτοι εἰς τὸ τοῦ κόσμου κόρυμβον;*

**Rudolph headed for trial in Birmingham (Alabama)**
(03-06-03)

<u>Ὁ Ῥούδωλφ εἰς τὸ Βίρμιγγαμ (Ἀλαβάμα) ἐνεχθήσεται ἵνα δικασθῇ</u>

*Ὁ φεύγων Ῥούδωλφ, τριάκοντα καὶ ἓξ ἔτη γεγονώς, ἐν Ἀτλάντῃ βόμβαν ἔθηκεν, τῶν Ὀλυμπίων ἐκεῖ τηνικαῦτα ἑορταζομένων· νῦν δὲ ἤδη δευτέραν ἡμέραν ἐν φυλακῇ κεῖται, φύλαξ γὰρ ἐν τῇ Μοῦρφι πόλει οἰκῶν καὶ μόνον ἓν καὶ εἴκοσι ἔτη γεγονὼς αὐτὸν κατέσχεν.*

*ὅμως δὲ τὸ πρῶτον ὁ Ῥούδωλφ ἐν τῷ Βίρμιγγαμ (Ἀλαβάμα) δικασθήσεται διότι τὸ πρὶν βόμβαν ἄλλην ἐν ἀμβλωσίμῳ ἰατρείῳ ἐτεθήκει, ταύτῃ δὲ τῇ προσβολῇ ὁ φεύγων φύλακά τε καὶ τροφέα ἔκτεινεν· ἐν μὴν τῇ τοῦ Ὀλυμπικοῦ Παραδείσου προσβολῇ γυνὴ ἀπέθανε καὶ ἑκατὸν καὶ ἕνδεκα ἄνθρωποι ἐτρώθησαν.*

*ὁ δὴ τρομοκράτης οὐ πρὸ τοῦ ηὑρέθη ἅτε ἐν τοῖς Ἀπαλάξοις ὄρεσι κρυπτόμενος.*

**Iran offers USA to participate in nuclear plants construction**
(04-06-03)

<u>Τὸ Ἰρὰν ταῖς ΗΑΠ τὸ μετέχειν τῆς τῶν ἀτομικῶν ἐγκαταστάσεων οἰκοδομίας προτείνει</u>

*Ἡ μὲν τοῦ Ἰρὰν ἀρχὴ τῇ Δευτέρᾳ ταῖς ΗΑΠ τὸ μετέχειν τῆς τῶν ἀτομικῶν ἐγκαταστάσεων οἰκοδομίας προὔτεινεν, ἵνα ἡ Λευκὴ Οἰκία τὸν περὶ τοῦ ἀτομικοῦ ἐν τῷ Ἰρὰν προγράμματος φόβον μινύθοι, ὁ δὲ ἀιατολὰς Ἀλὶ Χαμενεὶ, ἐπὶ τούτῳ θορυβῶν, ἀπεῖπεν ὅτι τὸ Ἰρὰν ταῖς ΗΑΠ συνεργάζοιτο· ὡς εἰπεῖν οὖν λόγῳ, ῥᾳδίως ἀντιλογίαν τινὰ τῆς θρησκείας ἐπὶ τοὺς ἐν τέλει ὁρᾶν ἔχομεν· ὁ δὲ αὐτὸς τῆς ἀρχῆς φερέφωνος εἶπεν ὅτι τὸ Ἰρὰν τὰ τῶν τρομοκρατῶν τῆς Ἄλ Καΐδα ὁμάδος ὀνόματα λέξοι οὓς ἐν φυλακῇ ἔχοι, ἐπειδὰν αὐτοὺς σαφῶς γνωρίσωσιν.*

*ὅμως δὲ οἱ περὶ τῆς πολιτικῆς τεχνῆς ἐμπείρως ἔχοντες οὔ φασι τοῦτον τὸν Ἀμερικανο-Ἰρανίας συμπράξεως πειρασμὸν προχωρήσεσθαι.*

**French troops arrive in Congo**
(06-06-03)

<u>Γάλλοι στρατιῶται εἰς τὸ Κόγγον ἀφικνοῦνται</u>

*ὁμάς τις Γάλλων στρατιωτῶν εἰς τὸ Κόγγον χθὲς ἀφίκετο, οὗ πεντακόσιοι ἄνθρωποι διὰ τὴν ἐθνικὴν ἅμιλλαν τεθνήκασιν· ὁ δὲ στρατηγὸς Δάνιελ Βόλλωτ, ὃς τῶν τοῦ Ἡνωμένων Ἐθνῶν Ὀργανισμοῦ (ΗΕΟ) στρατιωτῶν ἐν τῷ Κόγγῳ ἡγεμονεύει, εἶπεν ὅτι οἱ Γάλλοι στρατιῶται χθὲς ἀφικόμενοι τὴν ὁδὸν βεβαιώσοιεν ἵνα ἄλλοι χίλιοι καὶ ἑπτακόσιοι στρατιῶται ὕστερον ἀφικῶσιν.*

*ἐν δὲ τῇ πρωτενούσῃ Βουνίᾳ ἡ τῶν Ἕμα καὶ Λέδου ἐθνῶν μάχη ἀγριωτάτη ἐγένετο· οἱ μὲν Γάλλοι στρατιῶται μέχρι τοῦ Σεπτεμβρίου ἐκεῖ μενοῦνται, τότε δὲ ἄλλα ὁμὰς ὑπὸ τοῦ Βαγγλαδεῖς*

*ἡγεμονευομένη ἀφίξεται· καὶ ὁ Καναδὰς καὶ ἡ Νότια Ἀφρικὴ στρατιώτας μὲν ἐκεῖσε εἰσπέμψουσιν, μείονας δέ.*

*τῇ δὲ τετάρτῃ οἱ τῆς Εὐρωπαίας Ἑνώσεως (ΕΕ) πρεσβευταὶ ἐν τοῖς Βρυξέλλεσιν ἀθροισθέντες τούτους τοὺς στρατιώτας κατὰ τὴν Γάλλην αἰγίδα πέμψαι συνεβούλευσαν.*

## Khmer Rouge leaders to be judged
(08-06-03)

*Οἱ τῶν Ἐρυθρῶν Χμὲρ ἡγεμόνες δικασθῆναι μέλλουσιν*

*Ὁ Ἡνωμένων Ἐθνῶν Ὀργανισμὸς (ΗΕΟ) τῇ Παρασκευῇ τῇ Καμβοδίᾳ ὡμολόγησεν ἵνα τοὺς τῶν Ἐρυθρῶν Χμὲρ ἡγεμόνας δικάζοιεν· τῶν γὰρ τεττάρων ἡ μία τοῦ πλήθους μοῖρα ἐν τοῖς ἐπικαλουμένοις θανάτου ἀγροῖς ὑπὸ τῆς τούτων ἀρχῆς ἐν τῇ Καμβοδίᾳ ἀπέθανεν, καὶ δὴ καὶ μόνον δὴ τεττάρων ἐτῶν.*

*ὁ μὲν Πὼλ Πὼτ τὴν χώραν γεωργώδη παράδεισον ἀπεργάζεσθαι ἐβούλετο, οἱ δὲ γεωργοὶ λιμῷ ἢ εὐθὺς ὑπὸ τῶν Χμὲρ ἀπέθανον· οὗτοι μὲν οἱ Χμὲρ τὴν Καμβοδίαν ἀπὸ τῶν ἑσπερίων ἐπιρροῶν ἐλευθερῶσαι ἐβούλοντο, ἐπείρασαν δὲ τὴν οἰκονομίαν ἐπὶ μακροτάταις γεωργωδέσι κοινωνίαις ἱδρύειν. ἡ οὖν οὐτοπία τραγῳδία δὴ ἐγένετο, ἑκατομμύριον γὰρ καὶ ἑπτακόσιοι χίλιοι ἄνθρωποι ἀπέθανον.*

*πολλοὶ μὲν ἐκείνων τῶν Χμὲρ ἡγεμόνων νῦν ἐλευθέροι ἐν τῇ Καμβοδίᾳ οἰκοῦσιν ἅτε, τοῦ Πὼλ Πὼτ ἀποθανόντος, τῇ νεᾷ ἀρχῇ ἑαυτοὺς παραδόντες, οὐδεῖς δὲ τῶν Χμὲρ ἡγεμόνων ἔτι καὶ νῦν ἐδικάσθη.*

## Welsh church sends biblical messages by mobile phones
(10-06-03)

*Ἐκκλησία τις ἐν τῇ Οὐαλίᾳ βιβλικὰ ἀγγέλματα διὰ κινητῶν τελεφώνων πέμπει*

*Ἐκκλησία τις ἐν τῇ Οὐαλίᾳ τὸ τοῦ Θεοῦ ῥῆμα διὰ ἀγγελμάτων εἰς τὰ κινητὰ τελεφῶνα πεμφθέντων διασπείρει ἵνα ἀποδείξῃ τὴν θρησκείαν καὶ ταῖς νῦν ἡμέραις ἑτοίμην οὖσαν.*

*ἡ δὲ ἐν τῷ Κάρδιφφ βαπτιστὴ ἐκκλησία Βέθηλ ὀνόματι ταύτην τὴν διακονίαν στίχον τῶν Βιβλίων ἐξαιρεθέντα καθ' τρεῖς ἡμέρας πεμποῦσαν ἧκεν, ὁ γὰρ ἱερεὺς Σιμεῶν Βάκερ λέγει ὅτι ἡ μὲν ἐκκλησία ἀεὶ ἀρχαικὴ νενόμισται, δεῖ δὲ τὴν ἐκκλησίαν ἔτι καὶ νῦν προχωροῦσαν ἀποδεικνύναι· καὶ δὴ καὶ τὰ ἀγγέλματα ἀεὶ ἀπὸ τῆς θρησκευσίμου τοῦ ἔτους περιόδου ἀρτᾶται.*

*αὕτη δὴ ἡ νέα διακονία "Σοφία τῷ Βίῳ" κέκληται.*

## Odd skulls from oldest modern humans
(13-06-03)

*Ἀλλόκοτα τῶν ἀρχαιοτάτων καινῶν ἀνθρώπων κράνια*

*Ἐν τῇ Αἰθιοπίᾳ οἱ παλαιοντόλογοι τρία ἀνθρωπινὰ κράνια ηὗρον ἑκατὸν καὶ ἑξήκοντα χίλια πάλαια ὄντα· ταῦτα δὴ τὰ κράνια ἀρχαιότατον τοῦ ἀνθρωπίνου γένους σημεῖόν ἐστιν.*

*τὰ μὲν κράνια μεῖξίν τινα τῶν τε ἀρχαιῶν χαρακτηριστικῶν καὶ τῶν καινῶν δείκνυσιν, τὴν δὲ θεωρίαν κατακυροῖ λέγουσαν ὅτι ὁ ἄνθρωπος ἐκ τῆς Ἀφρικῆς ἀφίκετο· ὁ δὴ ἐν τῷ Βέρκελει*

Πανεπιστημίῳ ζητητὴς Τὶμ Οὐάιτ τὸ αὐτὸ διαβεβαιοῦται. τοῦτο μὴν τὸ εὕρημα τῷ Νατοῦρε περιοδικῷ ἐκδέδοται.

τῆς δὲ Εὐρωπαίας ἠπείρου ὑπὸ τοῦ κρυστάλλου κειμένης, οἱ ἐν τῇ Αἰθιοπίᾳ ἄνθρωποι πρὸς μὲν λιμέσι ᾤκουν ἐν οἷς ἱπποπόταμοι ἦσαν, ἐπὶ δὲ τὸ βέλτιον ἐπέδοσαν πρὶν τοὺς Νεανδερτάλεις ἀφάντους γίγνεσθαι, τὰ δὲ κράνια δείκνυσι ὅτι Νεανδερταλικὸς σταθμὸς ἐν τῇ ἀνθρωπινῇ ἐξελίξει οὐδέποτε ἦν.

**Iraqi ambush sparks new battle north of Baghdad**
(14-06-03)

*Ἰράκια ἔνεδρα αἰτία ἐστὶν νέας πρὸς βορρᾶν τοῦ Βαγδὰδ μάχης*
Ἁρμοσμένη Ἰράκια ὁμὰς τὸ Ἀμερικανὸν στράτευμα τῇ Πέμπτῃ πρὸς βορρᾶν τοῦ Βαγδὰδ ἐνήδρευσεν, οἱ δὲ Ἀμερικανοὶ στρατιῶται ἀντιπροσβάλλοντες εἴκοσι καὶ ἕπτα πολεμίους ἀπέκτειναν.

πρῶτον μὲν οἱ Ἰράκιοι Ἀμερικανοῖς τισὶ θωρακισμένοις ἅρμασι προσέβαλον (ἐν ταύτῃ τῇ προσβολῇ τέτταρες Ἰράκιοι ἀπέθανον καὶ οἱ ἄλλοι ἀπέφυγον)· ἔπειτα δὲ Ἀπάξε ἑλικόπτερα τοὺς μὲν προσβαλλόντας ἐδίωξεν, εἴκοσι δὲ καὶ τρεῖς Ἰρακίους ἀπώλεσεν.

καὶ δὴ καὶ ταύτης τῆς ἑβδομάδος τὸ Ἀμερικανὸν στράτευμα τετρακοσίους Ἰρακίους πολεμιστὰς εἷλε τῷ Σαδδὰμ Οὐσσεὶν πειθαρχοῦντας, πρὸς δὲ τοὺς τόπους τῷ τὰς προσβολὰς ἀσκεῖν οἰκοδομηθέντας τε καὶ παρασκευασθέντας εἰσέπεσεν· ταύτης δὲ τῆς προσβολῆς γιγνομένης, οἱ μὲν Ἰράκιοι Ἀπάξε ἑλικόπτερον κατέβαλον, οἱ δὲ Ἀμερικανοὶ στρατιῶται τοὺς δύο κυβερνήτας ἔσωσαν.

διὰ δὲ τῆς αὐτῆς προσβολῆς Ἀμερικανὸν μὲν μαχητικὸν ἀεροσκάφος πρὸς τὴν γῆν κατέπεσε μηχανικοῦ ἁμαρτήματος ἕνεκα, ὁ δὲ κυβερνήτης καὶ ἐν τούτῳ τῷ καιρῷ ἀρτεμὴς ἐσώθη.

**Feds capture eight Cuban immigrants**
(16-06-03)

*Οἱ ὁμοσπονδιακοὶ φύλακες ὀκτὼ Κουβάνους μετανάστας αἱροῦσιν*
Ὀκτὼ Κουβάνοι ἐν τῷ τοῦ Μιάμι αἰγιαλῷ ὑπὸ τῶν τοῦ Ἀμερικανοῦ ὅρου φυλακῶν τῇ Κυριακῇ ηὑρέθησαν· καὶ δὴ καὶ οἱ μὲν φύλακες καὶ σκάφος ἓξ μέτρων τὸ μῆκος ηὗρον, νομίζουσιν δὲ τοὺς μετανάστας λάθρα εἰς τὴν Ἀμερικανὴν ἀκτὴν ἀφίκεσθαι, ὁ οὖν τῶν φυλακῶν φερέφωνος λέγει ὅτι τὸ πρᾶγμα ἔτι ἐξετάζηται. ἔνιοι δὴ πολίται ἑπτά τε ἀνθρώπους καὶ μίαν γυναῖκα εἶδον καὶ τοὺς φύλακας εὐθὺς ἐκάλεσαν.

οἱ οὖν ὁμοσπονδιακοὶ φύλακες πρῶτον μὲν αὐτοὺς εἷλον, ἔπειτα δὲ τοὺς μετανάστας ἐν Πέμβροκε Πίνες ἠρώτησαν· ὅτι δὲ νῦν τεύξεται οὐ καταφανές ἐστιν, κατὰ γὰρ τὸν Ἀμερικανὸν νόμον οἱ μετανάσται εἰς μὲν τὴν ἀκτὴν ἀφικομένοι ὀλιγοχρόνιον ἐνοικήσεως ἐξουσίαν δέχονται, μετὰ δὲ ἐνιαυτὸν τὴν διαμόνιμον ἐξουσίαν δέχεσθαι ἔχουσιν, ἀλλ', ἐὰν ἐν τῇ θαλάττῃ ἁλίσκωνται, πρὸς τὴν Κούβην ἀποπέμπονται.

**Archaeologists say stone box linked to Jesus is fake**
(19-06-03)

Οἱ ἀρχαιόλογοι λέγουσιν ὅτι ἡ λιθίνη θήκη τῷ Ἰησῷ συναφθεῖσα ψευδές ἐστιν

Λιθίνη θήκη ἐν τῇ πλευρᾷ ἐπίγραμμα δείκνυσι τῇ Ἀραμαίᾳ γλώττῃ γραφέν, κατὰ δὲ τοῦτο τὸ ἐπίγραμμα ἡ θήκη τὰ ὀστᾶ τὰ τοῦ Ἰακώβου, τοῦ Ἰησοῦ ἀδέλφου, ἐνεῖχεν.

οἱ δὲ ἔμπειροι Ἰσραηλίνοι ἀρχαιόλογοι λέγουσιν ὅτι ἡ μὲν λιθίνη θήκη ἐν τῷ τοῦ Ἰησοῦ χρόνῳ εἰργάσθη, τὸ δὲ ἐπίγραμμα νῦν ἐγράφη. τοῦτο δὴ τὸ ἐπίγραμμα, "Ἰακῶβος, τοῦ Ἰωσὴφ υἱός, τοῦ Ἰησοῦ ἀδελφὸς" λέγον, πολλοῦ θορύβου αἴτιον ἦν τοῖς βιβλικοῖς σοφοῖς.

ὅμως δὲ ὁ Σιοῦκα Δόρφμαν, ἡγεμὼν τῶν περὶ τοῦ ἀρχαίου ζητήσεων ἐν τῷ Ἰσραήλ, εἶπεν ὅτι τις θρησκεύσιμον διάνοιαν τῇ θήκῃ ἐπιτίθεσθαι ἐβουλήθη, τὸ οὖν ἐπίγραμμα οὐ λανθάνει ψευδὲς ὄν, ἀλλὰ ὁ Ὄδεδ Γώλαν, ἅτε τὴν θήκην κεκτημένος, λέγει μὲν ὅτι τὸ ἐπίγραμμα γνήσιόν ἐστιν, διαβεβαιοῦται δὲ τὴν θήκην ἐν τοῖς Ἱεροσολίμοις πρίασθαι.

τῶν δὲ πλείστων ἐμπείρων τὸν Ἰησοῦν ὑπάρξαι ὁμολογούντων, οὐδὲν τεκμήριον κεῖται σωματοειδὲς τοῦ βίου αὐτοῦ.

**U.S. Intelligence believes Saddam is still in Irak**
(21-06-03)

Ἡ Ἀμερικανὴ νόησις νομίζει τὸν Σαδδὰμ Οὐσσεὶν ἔτι ἐν τῷ Ἰρὰκ μένειν

Δύο Ἀμερικανοὶ νοήσεως ὀργανισμοὶ νομίζουσιν μὲν τὸν πρόσθεν Ἰράκιον ἡγεμόνα ἔτι ζῆν καὶ ἐν τῷ Ἰρὰκ ἐμμένειν, λέγουσιν δὲ ὅτι τεκμήρια δεῖξαι οὐκ ἔχουσιν· τοῦτο γὰρ ὑποπτεύουσι διότι τελεφωνικοὺς μὲν διαλόγους ἐν οἷς περὶ αὐτοῦ ζῶντος ἐλέγετο κατέλαβον, ἔνιοι δὲ Ἰράκιοι πολῖται στίβους ἔδοσαν, ὅμως δὲ ἐνδέχεται ὅτι οὗτοι οἱ στίβοι ἐκ προνοίας ἐδόθησαν ἵνα τοὺς Ἀμερικανοὺς ἐξαπατῶσιν.

ἡ οὖν Ἀμερικανὴ ἀρχὴ ἐν νῷ ἔχει ἀσφάλειαν παρέχειν τοῖς τοῦ Σ. Οὐσσεὶν συνεργοῖς ἵνα τι περὶ τοῦ κευθμῶνος αὐτοῦ μηνύωσιν, τὸ νῦν γὰρ οὐδεὶς συνεργὸς τεκμήρια ἔδωκε περὶ αὐτοῦ ἢ περὶ τῶν ὅπλων· ὁ οὖν στρατηγὸς Ἀβὶδ Ἀμὶδ, ἀπὸ τῆς προτέρης ἑβδομάδος ἐν φυλακῇ ὤν, νῦν τι μηνύειν ἴσως βουλήσεται.

οἱ δὲ αὐτοὶ νοήσεως ὀργανισμοὶ διαβεβαιοῦνται ὅτι ὁ Σ. Οὐσσεὶν ἐν τῷ οἰκήματι οὐκ ἦν ὃ ἐν τῇ τοῦ πολέμου ἀρχῇ οἱ Ἀμερικανοὶ ἐβομβάρδισαν.

**Drunk driver rushes against two bar terraces in Düsseldorf**
(23-06-03)

Μεθύων ἁρματηλάτης ἐπὶ δύο στοᾶ ἐν τῷ Δυσσέλδωρφ προσβάλλεται

Μεθύων ἁρματηλάτης προσεβάλετο χθὲς τῷ αὐτοκινήτῳ ἐπὶ πολίτας τινὰς ἐπὶ ταῖς δυοιν πανδοκείοιν στοαῖς θακοῦντας ἐν τῇ πόλει Δυσσέλδωρφ, ἐν τῇ Γερμανίᾳ· δέκα δὴ ἄνθρωποι ἐτρώθησαν.

πρὸς γὰρ ἑσπέραν οὗτος ὁ ἁρματηλάτης, ἑξήκοντα καὶ τέτταρα ἔτη γεγονώς, διὰ τῆς πανδοκείου τινὸς στοᾶς τὸ αὐτοκίνητον ἤλασεν, ἀλλὰ οὐκ ἔλαθε τοῦτο ἐκ προνοίας πράττων, ἔπειτα δὲ ἐπὶ ἄλλο πανδοκεῖον πέραν τῆς ἀγυιᾶς κείμενον συνέκρουσεν· ὁ δὴ ἁρματηλάτης ὑπὸ τῶν φυλάκων ἐν ἀκαρεῖ χρόνου κατέρχθη.

*οἱ μὲν Γερμανικοὶ φύλακες εἶπον ὅτι ὁ ἄνθρωπος μεθύοι καὶ ἄλλο πανδοκεῖον πλησίον τούτου τοῦ τόπου κτῷτο, νῦν δὲ ἐξετάζειν βούλονται πότερον τὸ αὐτοκίνητον σφάλμα εἶχε διὰ ὃ παύεσθαι οὐχ οἷόν τ' ἦν ἢ οὔ, ὅμως δὲ νομίζουσιν τὸν ἁμρατηλάτην δὶς ἐκ προνοίας προσβαλέσθαι, ἤπειξε γὰρ τὸ αὐτοκίνητον, τοῦτο δὲ τεκμήριον κεῖται.*

**George Orwell's black list**
(23-06-03b)

*Ὁ μέλας τοῦ Γ. Ὄργουελ κατάλογος*

*Ὁ Βρετανικὸς ἐφημερίδης Γάρδιαν γραμματεῖα εὕρηκε διερχόμενα περὶ τῆς συμπράξεως τῆς τοῦ εὐδοκίμου συγγραφέως Γ. Ὄργουελ καὶ τῆς Θέλιν Κίργουαν, καλλίστης γυναικὸς τῇ Βρετανικῇ ἀρχῇ ἐργαζομένης.*

*τὸ γὰρ ἱστορικὸν κατάστημα τόδε ἐστίν· τῷ τετάρτῳ ἔτει μετὰ τὸ τοῦ Δευτέρου Παγκοσμίου Πολέμου τέλος ὁ Γ. Ὄργουελ, τότε ἤδη τετταράκοντα καὶ πέντε ἔτη γεγονώς, ἐν νοσοκομείῳ ἔκειτο ἐν τῇ Ἀγγλίᾳ, μόνον δὲ οὐκ ἀπέθανεν, καὶ δὴ καὶ ἡ ἄκοιτις αὐτοῦ ἐτεθνήκει· ὁ μὲν κομμουνισμὸς ἄρτι τὴν ἐν τῇ Τσεχοσλοβακίᾳ ἀρχὴν εἰλήφει, ὁ δὲ συγγραφεὺς ἐν τῷ Ἱσπανικῷ Οἰκείῳ Πολέμῳ τὰς τοῦ κομμουνισμοῦ περισσότητας ἤδη παθὼν ἐνόμιζε ταύτην τὴν προχώρησιν παυστέον εἶναι.*

*ὁ Γ. Ὄργουελ πολιτικῶς ἐν μὲν τῇ ἀριστερᾷ ἦν, κατὰ δὲ τῶν δικτατωρειῶν κατέστη· αὕτη οὖν ἡ στάσις ἀεὶ αὐτῷ φίλους τε καὶ ἐχθροὺς ἐν τῇ ἀριστερᾷ αὐτῇ παρεῖχεν.*

*τὴν δὲ καλλίστην Θέλιν Κίργουαν γνωρίσας, αὐτῆς τ' ἠράσθη καὶ αὐτὴν γαμεῖν ἐβούλετο, ἡ μὲν τὴν προσφορὰν ἀπεδοκίμασεν, ὅμως δὲ φίλοι ἀλλήλοις ἔμενον· ἔπειτα δὲ ἡ Θ. Κίργουαν αὐτὸν ᾔτησεν ὀνόματα φιλοκομμουνιστῶν δοῦναι, ὁ δὲ αὐτῇ κατάλογόν τινα "κρυπτοκομμουνιστῶν" (ὁ γὰρ Ὄργουελ τούτῳ τῷ ὀνόματι τοὺς φιλοκομμουνιστοὺς ἐκάλει) ἔδωκεν· ἐκ δὲ τῶν ἐν τῷ καταλόγῳ γεγραμμένων δύο ἄνθρωποι ἦσαν ἀληθινῶς σοβιετικοὶ κατάσκοποι, ὅ τε Πέτερ Σμόλλετ καὶ ὁ Τὸμ Δρίβεργ.*

*νῦν μὲν τὰ ἑκατὸν ἔτη ἀπὸ τῆς τοῦ Ὄργουελ γενέσεως ἑορτάζεται, ὁ δὲ Βρετανικὸς ἱστορικὸς Τίμοτι Γάρτον Αἴξ μακρὸν ἄρθρον περὶ τούτου τοῦ πράγματος ἐκδέδωκεν.*

**Six UK troops killed in Iraq**
(24-06-03)

*Ἓξ Βρετανικοὶ στρατιῶται ἐν τῷ Ἰρὰκ ἀποθνῄσκουσιν*

*Ἓξ Βρετανικοὶ στρατιῶται ἀπέθανον τήμερον τῇ Τρίτῃ ἐν τῷ Ἰρὰκ προσβολῇ τινὶ ἐπὶ τὸ συμμάχον στράτευμα, καὶ δὴ καὶ ἔνιοι μὲν Ἰράκιοι ἀπέθανον, ἄλλοι δὲ Ἀμερικανοὶ καὶ Βρετανικοὶ στρατιῶται ἐτρώθησαν.*

*τὸ δὴ πρῶτον Βρετανικοὶ στρατιῶται ἐν τῷ Ἰρὰκ ἀποθνῄσκουσιν ἐξ οὗ ὁ τῶν ΗΑΠ πρόεδρος Γ. Βοὺιξ τῇ πρώτῃ τοῦ Μαΐου ἡμέρᾳ τὴν τῶν πολεμικῶν τελευτὴν ἤγγειλεν.*

*αὕτη μὲν ἡ προσβολὴ ἐγγὺς τῆς πόλεως Ἂλ Ἀμάρα ἐγένετο, πρὸς βορρᾶν τῆς πόλεως Βάσρα, ἀλλὰ ὁ Βρετανικὸς στρατηγικὸς φερέφωνος ἀκριβῆ τοῦ πράγματος ἐξήγησιν οὐ παρέσχεν· ἔπειτα δὲ Βρετανικὸν μὲν ἑλικόπτερον Ξίνουκ πρὸς τὴν γῆν καταπετόμενον προσεβλήθη, ἑπτὰ δὲ στρατιῶται,*

*τρεῖς δὴ μάλιστα σφόδρα, ἐτρώθησαν. οὐδεὶς δὲ οἶδε πότερον αἱ δύο προσβολαὶ ἀλλήλων μετέχουσιν ἢ οὔ.*

*οἱ μὲν τῷ Σαδδὰμ Οὐσσεὶν ἐπιτήδειοι δοκοῦσιν ἐν τῇ πόλει Φαλλοῦχα συνελθεῖν, ἐκεῖ δὲ χθὲς Ἰράκιοί τινες χειρικὰς βόμβας ἐπὶ τοὺς Ἀμερικανοὺς στρατιώτας προσέβαλον ἠλεκτρικὴν ἐγκατάστασιν φυλάττοντας.*

**Nuke program parts unearthed in Baghdad**
(26-06-03)

*Ἀτομικοῦ προγράμματος στοιχεῖα ἄθαπτα ἐν τῷ Βαγδάδ*
*Οἱ Ἀμερικανοὶ ἐπιστάται στοιχεῖα τῷ ἀτομικὴν βόμβαν ἐργάζεσθαι ἐπιτήδεια ηὑρήκασιν· ταῦτα μὲν τὰ στοιχεῖα ἐν οἰκείᾳ αὐλῇ τεθαμμένα ἦν ἐν τῷ Βαγδάδ, ὅμως δὲ οἱ ἐπιστάται τοῦτο τὸ εὕρημα τεκμήριον ἐπὶ τὸν Σαδδὰμ Οὐσσεὶν εἶναι οὐ νομίζουσιν.*

*ὁ δὲ Ἰράκιος ἐπιστήμων Μάδι Ὀβεῖδι ταῦτα τὰ στοιχεῖα ἤδη δωδέκατον ἔτος ἔθαψεν, τοῦ Κοῦσαι Οὐσσεὶν τοῦτο κελεύοντος, καὶ δὴ καὶ ὁ Ὀβεῖδι τοῖς Ἀμερικανοῖς εἶπεν ὅτι τοῦτο θάψαι οἱ Ἰράκιοι ἐβουλεύσαντο τοῦ πολλῷ ὕστερον τὸ ἀτομικῶν βομβῶν πρόγραμμα πάλιν ἀνιστάναι οἷοί τ' εἶναι.*

*ὁ δὲ Δαυὶδ Καΐ, τὰ πρόσθεν τοῦ ΗΕΟ ἐπιστάτης, λέγει ὅτι τοῦτο ηὗρον ἐν ἀγγείῳ ὑπὸ ῥοδῶν πρασιᾶς τεθαμμένῳ καὶ διὰ τοῦτο οὐ δυνατὸν ἦν νομίμῳ ἐπισκέψει εὑρεῖν.*

*ἡ μὲν Ἀμερικανὴ ΚΝΝ τοῦτο τὸ εὕρημα ἤδη τῆς προτεραίας ἑβδομάδος ἐπύθετο, ἀλλὰ ἡ Ἀμερικανὴ ἀρχὴ τὴν ΚΝΝ ᾔτησε τοῦτο μὴ ἀγγέλλειν, χθὲς δὲ ἡ ἀρχὴ ἐξουσίαν ἔδωκεν. οἱ δὴ Ἀμερικανοὶ ἐπιστήμονες διαβεβαιοῦνται τοῦτο τὸ εὕρημα οὐ μὲν ἀποδεικνύναι τὸν Σ. Οὐσσεὶν ἀτομικὴν βόμβαν ἐν τῷ τότε ἔχοντα, ἀποφαίνειν δὲ αὐτὸν τὸ ἀτομικὸν πρόγραμμα πάλιν ἀνιστάναι βουλόμενον.*

**Music industry to sue downloaders**
(28-06-03)

*Αἱ τῆς μουσικῆς ἐπιχειρήσεις τοὺς ἐκγραφομένους γραφὴν γράψουσιν*
*Αἱ πέντε γιγαντώδεις ἐπιχειρήσεις τῆς μουσικῆς τέχνης ἐν ταῖς ΗΑΠ κρατοῦσαι πρὸς πολλὰ ἑκατομμύρια φιλομουσικῶν μέλη τῷ ἰντερδικτύῳ μεταλλαττόντων πολεμήσουσιν.*

*αἱ οὖν ἐπιχειρήσεις τεκμήριά τε συλλήψονται καὶ γραφὴν τοῖς τῷ ὑπολογιστῇ χρωμένοις γράψονται ἐὰν μουσικὴν μεταλλάττωσιν· ὁ δὲ Κάρι Σιέρμαν, φερέφωνος τῶν τῆς μουσικῆς ἐπιχειρήσεων, λέγει ὅτι ᾑρεῖτο ἂν τὸ μουσικὴν ἐργάζεσθαι μᾶλλον ἢ τὸ γραφὴν γράψαι.*

*ἡ δὴ ἐπὶ τὸ Νάψτηρ νίκη πυρρικὴ ἦν, ἄλλαι μὲν γὰρ παράνομοι ἐπιχειρήσεις ἐγένοντο νεώτεραί τε καὶ βελτίονι τεχνολογίᾳ χρώμεναι αἳ μουσικὴν μεταλλάττουσιν, αἱ δὲ νόμιμαι ἐπιχειρήσεις ταύτην τὴν παράνομον μεταλλαγὴν δι' αἰτίας ἔχουσιν τῆς τῶν πωλήσεων μειώσεως.*

*ὅμως δὲ οἱ τῶν τῆς μεταλλαγῆς ἐπιχειρήσεων ἡγεμόνες διαβεβαιοῦνται νόμους τινὰς ποιητέον εἶναι οἵτινες ταύτην τὴν πρᾶξιν κανονίσουσιν, αὐτοὶ δὲ λέγουσιν μὲν ὅτι αὕτη ἡ πρᾶξις οὐδένα βλάπτει, μᾶλλον δὲ τὰς τῆς μουσικῆς ἐπιχειρήσεις αἰτιῶνται τοῦ μὴ τοῖς παροῦσι συμφέρεσθαι.*

**Iraqi information minister re-emerges**
(29-06-03)

*Ὁ τῆς ἀγγελίας Ἰράκιος ὑπουργὸς πάλιν φαίνεται*

*Ὁ πρότερος τῆς ἀγγελίας Ἰράκιος ὑπουργὸς Μωαμὲδ Σαὶδ αλ-Σαγὰφ πάλιν ἐφάνη ἐν τῇ Ἄραβι τηλεοράσει τῇ Παρασκευῇ, εἶπε δὲ ὅτι οἱ Ἀμερικανοὶ στρατιῶται αὐτὸν μὲν ἠρώτησαν, ἔπειτα δὲ ἔλυσαν· ἐν δὲ τῇ τηλεοπτικῇ συναντήσει εἶπεν ὅτι ἀγνοοίη ὅπου ὁ Σαδδὰμ Οὐσσεὶν ἐστιν.*

*οὗτος δὴ ὁ ὑπουργὸς εὔδοξος ἐν τῷ Ἰρακίῳ πολέμῳ ἐγένετο· ὁπότε γὰρ οἱ Ἀγγλοαμερικανοὶ σύμμαχοι μάχην νικῷεν, ἀσφαλῶς διεβεβαιοῦτο τοὺς Ἰρακίους νικῆσαι· καίπερ τῶν Ἀμερικανῶν θωρακισμένων ἁρμάτων ἐν ταῖς τοῦ Βαγδὰδ ἀγυίαις ἤδη ὄντων, ὅμως δὲ τὸ αὐτὸ ἐπαλιλλόγει.*

*αἱ μὲν ΗΑΠ κατάλογον ἔγραψαν τῶν πεντήκοντα καὶ πέντε Ἰρακίων ἡγεμόνων ὧν μάλιστα εὑρεῖν βούλονται, ὁ δὲ Μ. Σ. Σαγὰφ ἐν τούτῳ τῷ καταλόγῳ οὐκ ἔνεστιν.*

*οὕτως δὲ ψευδῆ τὰ ἀγγέλματα αὐτοῦ ἦν ὥστε ἔνιαι ἑσπέριαι ἐπιχειρήσεις ἔργα ἐποίησαν ταῦτά τε τὰ ἀγγέλματα καὶ τὴν εἰκόνα αὐτοῦ δεικνύντα· καὶ δὴ καὶ σελὶς μὲν ἐν τῷ ἰντερδικτύῳ κεῖται περὶ αὐτοῦ διερχομένη (τὸ τῆς σελίδος ὄνομα "τὸν Ἰράκιον τῆς ἀγγελίας ὑπουργὸν φιλοῦμεν.κομ" ἐστίν), μέλος δέ τινες ἐποίησαν τὰ ἐνδοξότατα ἀγγέλματα συλλαμβάνον.*

**6 dead in Fallujah mosque blast**
(01-07-03)

*Ἓξ ἀποθνήσκουσιν ἐν τῷ τῆς Φαλλούχης ναῷ*

*Βόμβης πρὸς μουσουλμανικῷ ναῷ ἐν τῇ πόλει Φαλλούχῃ ἀνατιναχθείσης, ἓξ τε Ἰράκιοι πολῖται ἀπέθανον καὶ τέτταρες ἐτρώθησαν· ἐν δὴ ταύτῃ τῇ πόλει οἱ ἀντιαμερικανοὶ συνηθροισμένοι εἰσίν· καὶ δὴ καὶ ἐν τῇ πρωτευούσῃ Βαγδὰδ ἄλλοι τέτταρες Ἀμερικανοὶ στρατιῶται ἐτρώθησαν, τῶν Ἰρακίων δυοῖν πολεμικοῖς Ἀμερικανοῖς ἅρμασι προσβαλλόντων.*

*περὶ δὲ τῆς ἐν τῷ ναῷ συμφορᾶς αἱ ἐξηγήσεις ἀντιλογικαί εἰσιν (κατὰ τὸ εἰκός), οἱ μὲν γὰρ Ἰράκιοι λέγουσιν ὅτι οἱ ἀσεβεῖς Ἀμερικανοὶ ἕκοντες προσβολὴν ἐπὶ τὸν ναὸν ἐποίησαν, οἱ δὲ Ἀμερικανοὶ διαβεβαιοῦνται νεώριόν τι ἐγγὺς τοῦ νεοῦ κείμενον ἀνατιναχθῆναι.*

*ἡ μὲν Ἀμερικανὴ ἀρχὴ πειρᾷ τὸν κόσμον ἐν τῷ Ἰρὰκ διατηρεῖν ἐξ οὗ τὴν τοῦ Σαδδὰμ Οὐσσεὶν δικτατωρείαν ἀφεῖλον, οἱ δὲ πρότεροι τοῦ Βαὰς κόμματος κοινωνοὶ καὶ ἄλλοι μουσουλμανικοὶ σύμμαχοι ἔτι καὶ νῦν τοῖς Ἀγγλοαμερικανοῖς στρατιώταις προσβάλλουσιν, ἀλλ' ἀφ' οὗ ὁ πρόεδρος Γ. Βοῦιξ τὴν τοῦ πολέμου τελευτὴν ἤγγειλεν εἴκοσι καὶ τρεῖς Ἀμερικανοὶ στρατιῶται καὶ ἓξ Βρετανικοὶ ἀπέθανον.*

**Berlusconi's remark raises new critics**
(03-07-03)

*Οἱ τοῦ Βερλουσκώνι λόγοι πάλιν τῆς μέμψεως αἴτιοί εἰσιν*

*Ὁ Ἰταλιανὸς πρωθυπουργὸς Σ. Βερλουσκώνι τοὺς βουλευτὰς ὤργισε χθὲς ἐν τῇ Εὐρωπαικῇ Βουλῇ ἅτε ὁμοιώσας Γερμανικόν τινα βουλευτὴν στρατηγῷ ναζιστικῷ ὅστις συγκεντρώσεως στρατόπεδον ἄρχοι· ἡ οὖν Ἰταλία δυστυχῶς τῆς τῆς Εὐρωπαικῆς Ἑνώσεως κυβερνήσεως ἤρξατο.*

*ὁ γὰρ Ἰταλιανὸς ἡγεμὼν εἶπεν ὅτι ἐν τῇ Ἰταλίᾳ σκηνοθέτης τις κινηματογραφικὸν ἔργον πράττοι περὶ συγκεντρώσεως στρατοπέδων, τῷ δὲ Γερμανικῷ βουλευτῇ παρεκελεύσατο τὸν ναζιστικὸν ἡγεμόνα ὑποκρίνεσθαι.*

*ὁ μὲν Βερλουσκώνι ἐν τῇ Ἰταλίᾳ δίκας δοῦναι νῦν ἔμελλεν ὅτι δικαστὰς δεκάσειεν, τοὺς δὲ νόμους ἤλλαξε ἵνα μὴ δικασθείη· διὰ δὲ ταῦτα χθὲς ἔνιοι Εὐρωπαικοὶ βουλευταὶ αὐτῷ ἠγανάκτησαν τοῦ λόγου ἀρχομένῳ, λέγοντες ὅτι πάντες οἱ ἄνθρωποι πρὸς τοὺς νόμους ἴσοι εἶμεν· ὁ μὲν Γερμανικὸς βουλευτὴς Σιοῦλζ οὐ μόνον διὰ τοῦτο αὐτὸν ἐμέμφθη, ἀλλὰ καὶ διὰ τὰ χρηματιστικὰ κέρδη αὐτοῦ, τότε δὲ ὁ Βερλουσκώνι ἐκείνους τοὺς λόγους ἧκεν, εἰ καὶ ἔπειτα εἶπεν ὅτι οἱ λόγοι εἰρωνικοὺς ἦσαν.*

*ὁ Σιοῦλζ διεβεβαιώσατο ἑαυτὸν θαυμάζειν ὅτι ὅστις ἂν τῆς Εὐρωπαικῆς Ἑνώσεως προεδρεύῃ ταῦτα λέγειν ἔχοι.*

**Exhibition on childhood in Ancient Greece in New Hampshire**
(03-07-03b)

*Νέα Ἅμπσιρε ἀπόδειξιν παρέχειν μέλλει περὶ τῶν ἐν τῇ ἀρχαίᾳ Ἑλλάδι παιδῶν*
*Τὸ τῆς τέχνης Οὐδ Μουσαῖον ἐν τῷ Δάρμουθ Κόλλεγε ἀπόδειξιν περὶ τῶν τε παιδῶν καὶ τῆς ἐν τῇ ἀρχαίᾳ Ἑλλάδι παιδείας καὶ τῆς αὐξήσεως παρέξει· αὕτη δὴ ἡ ἀπόδειξις ἑκατὸν καὶ εἴκοσι ἀγγεῖα καὶ εἴδωλα καὶ ἀγάλματα καὶ κεραμικὰ συλλαμβάνει, ταῦτα γὰρ διηγεῖται τά τε οἰκεῖα περιόντα ἐν οἷς οἱ παῖδες ηὐξήθησαν καὶ τὴν παιδείαν καὶ τὰς παιγνίας αὐτῶν· πρὸς δὲ τούτοις ἡ τῶν παιδῶν μετουσία τῶν ἱερουργιῶν καὶ ἡ πρὸς τὴν ἡλικίαν μεταβολὴ καὶ τὸ σχῆμα αὐτῶν ἐν τῇ μυθολογίᾳ καὶ ἐξετασθήσονται.*

*τὸ δὲ Δάρμουθ Κόλλεγε ἐν τῇ πόλει Ἀνόβηρ κεῖται, ἐν τῇ Νέᾳ Ἅμπσιρε (ΗΑΠ)· ἡ μὲν ἀπόδειξις ἀπὸ τοῦ τελευταίου Αὐγούστου μηνὸς μέχρι τοῦ μέσου Δεκεμβρίου παραμενεῖ, ἐν δὲ τῇ πόλει Βόστον καὶ σύνοδος συμβήσεται διεθνικὴ περὶ τῆς ἀρχαιολογίας τῷ τελευταίῳ Αὐγούστῳ καὶ ἰδία συνεδρία περὶ τῆς ἐν τῇ Ἑλλάδι παιδείας τεύξεται.*

*πρὸς δὲ τούτοις τῷ Νοεμβρίῳ συμβήσεται καὶ ἐν Οὐδ συμπόσιον περὶ τῶν παιδῶν οὐ μόνον τῶν ἐν τῇ Ἑλλάδι ἀλλὰ καὶ τῶν ἐν πάσῃ τῇ ἀρχαίᾳ οἰκουμένῃ, μάλιστα δὲ ἐν ταῖς τῆς Μεσογείου Θαλάττης πόλεσι.*

*τὸ τῆς ἐπιμελητρίδος ταχυδρομεῖον τόδε ἐστίν·*
**Sharon.reed@dartmouth.edu**

*καὶ ἡ τοῦ Μουσαίου σελὶς ἥδε ἐστίν·*
**www.hoodmuseum.dartmouth.edu**